ἐπώδυνος ἦν, καὶ, ἐπεὶ ἀνῆκεν, ᾤχετο ἐς ἀγρόν. [1] Ὀσφὺν ἤλγησεν, ἑλούσατο, αἱ γένυες ξυνήγοντο [2] ἐς νύκτα, καὶ ὀπισθότονος παρῆν· τὸ σίαλον ἀφρῶδες, μόλις ἔξω διὰ τῶν ὀδόντων διῄει· τριταῖος ἀπέθανεν.

38. [3] Ζήνων ὁ τοῦ Δάμωνος, περὶ κνήμην, ᾗ σφυρὸν, ἕλκος κατὰ νεῦρον, ἤδη καθαρόν· τούτῳ δηχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν.

39. [4] Δείνωνι ὑπ' ἀρκτοῦρον, καὶ πρότερον ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης ἀσθενέως διατεθέντι, ἐκ πορείης κοπιάσαντι, καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ· καὶ βὴξ, ἔχουσα μὲν ἐκ [5] καταῤῥόου καὶ πρότερον, τότε δὲ ἦν κατακορής· καὶ ἄγρυπνος, καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ' ἀρχῆς, καὶ ἀνακαθίζων. Τριταῖος [6] ἔπτυσεν ὠχρόν· ἀρτηρίη ὑπεσύριζε ῥεγχῶδες. Περὶ τὴν πέμπτην, πνεῦμα ἐπιεικῶς πυκνόν· πόδες, [7] αἱ κνῆμαι, ἄκρεα τὰ πλεῖστα ψυχρὰ, καὶ ἔξω τοῦ ἱματίου· ὑποχώρησις ἀπ' ἀρχῆς ἐπεγένετο χολώδης, οὔτε λίην ὀλίγη, οὔτε πουλλή. [8] Ἑβδομαῖος καὶ ὀγδοαῖος καὶ ἐναταῖος ῥᾷον ἐδόκει φέρειν, καί τινες ὕπνοι ἐγένοντο, καὶ τὰ ἀποχρεμπτόμενα ἀμεμπτότερα. [9] Δεκάτῃ καὶ μέχρι [10] τρισκαιδεκάτης, σφόδρα λευκὰ καὶ καθαρά· καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο, [11] τὸ δὲ ἀριστερὸν ξυντεταμένον· καὶ εὐπνούστερος· πρὸς [12] δὲ βάλανον ὑπῆλθε μετρίως. [13] Τρισκαιδεκάτῃ, πάλιν ἔπτυσεν ὠχρὸν, τεσσαρεσκαιδεκάτῃ δὲ μᾶλλον, πεντεκαιδεκάτῃ [14] δὲ πρασοειδές· κοιλίη δὲ κακώδεα, χολώδεα, ὑγρὰ, συχνὰ ὑπῆλθεν· ἀριστερὸν ὑποχόνδριον ἐπήρετο, [15] ἑκκαιδε-

[1] Ante ὀσ. addit ἀναχωρέων Lind. – ὀσφὺν D, Lind. – ὀσφῦν vulg. — [2] ἐς ν. om. C. – νύκτα FI. – μόγις C. — [3] ῥίνων C. – ῥήνων (D, in marg. al. manu ξήνων) HIJK. – δάμνωνος DJ. – δαμώνεος (sic) C. – ᾗ (καὶ C) pro ᾗ vulg. – ἕλκος om. K. — [4] δείνωνι IJK. – δεινόννη (sic) C. – τείνωνι D. – μείνωνι vulg. – ἀσθενέως C. – ἀσθενῶς vulg. – πορίης CK. — [5] καταῤῥόου Codd., Ald., Frob. – κατάῤῥου vulg. – καὶ οὐ πρ. DFGHIJK. – ἀπαρχῆς K. — [6] ἔπτησεν C. – ὑπεστήριζε, emend. al. manu D. – πέμπτην CJ, Lind. – ε vulg. — [7] καὶ pro αἱ Lind. – καὶ αἱ CDGHIJQ′ – πουλλὴ D. – πολλὴ vulg. — [8] ἑδδομαῖος CDFIJK. – ἑβδόμῃ Lind. – ζ vulg. – ὀγδοαῖος CJ. – ὀγδόῃ D, Lind. – η vulg. – ἐναταῖος J. – ἐνναταῖος C. – ἐννάτῃ Lind. – θ vulg. – ῥάων ῥᾶον FI) ἐδόκει sine φ. GHJK. – ῥάων ἐγένετο pro ῥ. ἐ. φ. DQ′. – τὰ CDHIJKQ′. – τὰ om. vulg. – ἀπεπτότερα vulg. – ἀπεμπτότερα (sic C – La fausse leçon de C me paraît mettre sur la voie de la bonne, puisqu'il s'agit ici d'un amendement des symptômes, et non, comme l'indiquerait ἀπεπτότερα, d'une aggravation. — [9] ι HK. — [10] τρισ-

amendé, il alla à la campagne ; il souffrit dans les lombes ; il se baigna ; les mâchoires se serrèrent pendant la nuit ; l'opisthotonos était là. La salive, écumeuse, était à peine expulsée hors des dents ; il mourut le troisième jour.

38. (*Plaie irritée par un médicament, tétanos, mort.* Ép. v, 76.) Zénon, fils de Damon, avait à la jambe, près de la cheville, une plaie voisine du tendon, déjà mondifiée ; le médicament l'ayant irritée, il survint un opisthotonos qui l'emporta.

39. (*Bronchite capillaire? avec douleur de côté, chez un individu affaibli.*) Dinon, au lever d'Arcturus, ayant été affaibli dès auparavant par une fièvre d'été et une diarrhée, s'étant fatigué par une marche, fut pris d'une douleur dans le côté gauche et de toux ; la toux, qui, due à un catarrhe, existait auparavant, devint alors intense ; insomnie ; le malade supporta tout d'abord très-mal la fièvre, et se tenait sur son séant. Le troisième jour, expectoration jaune ; la trachée-artère faisait entendre une espèce de sifflement raboteux. Vers le cinquième, respiration assez fréquente ; les pieds, les jambes, en général les extrémités, froides et hors des couvertures ; les déjections furent tout d'abord bilieuses, sans être ni minimes ni très-abondantes. Le septième, le huitième et le neuvième jours, il paraissait se trouver mieux ; il survint un peu de sommeil, et l'expectoration fut de moins mauvaise apparence. Le dixième et jusqu'au treizième, expectoration très-blanche et pure ; l'hypochondre droit devint plus souple, mais le gauche se tendit ; respiration plus aisée ; un suppositoire amena une selle médiocre. Le treizième, il expectora derechef des matières jaunes, le quatorzième, encore plus jaunes, le quinzième, porracées ; les selles furent fétides, bilieuses, liquides, abon-

καιδεκάτης CDJ. — τρισκαιδεκάτην Lind. — ιγ vulg. — [11] τὸ δὲ om. C. — ξυντεταμμ. Codd. — εὐπνοώτερον vulg. — Le neutre me paraît avoir été produit par le voisinage des autres noms neutres dans cette phrase. — [12] δὲ om. Codd. — [13] τρισκαιδεκάτη (τριακαιδεκάτη Lind.), τεσσαρεσκαιδεκάτη, πεντεκαιδεκάτη CJ, Lind. — ιγ, ιδ, ιε vulg. — [14] δὲ C. — δὲ om. vulg. — [15] ἑκκαιδεκάτη CJ, Lind. — ις vulg. — δὲ om. J.

κάτη δὲ καὶ σφόδρα ἐπῴδησεν· καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες· ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα, ὀλιγάκις ἐπὶ τὸ στῆθος· ἄκρεα καὶ μέτωπον ἐπιεικῶς [1] διετέλει ψυχρά· πηδηθμὸς [2] δὲ φλεβῶν περὶ κροτάφους κατεῖχεν· ὕπνοι [3] κωματώδεες καὶ ἡμέρην καὶ νύκτα τοὺς τελευταίους χρόνους· οὖρον ἀπ' ἀρχῆς ὠμὸν, σποδοειδές· περὶ [4] δεκάτην καὶ μέχρι τρισκαιδεκάτης λεπτὰ καὶ οὐκ ἄχροα, ἀπὸ δὲ τῆς [5] τρισκαιδεκάτης οἷάπερ ἀπ' ἀρχῆς.

40. [6] Τῷ Κλεόχῳ πλευροῦ ἄλγημα καὶ πυρετός· ἀνῆκεν ὁ πυρετός· ἱδρωσε τὸ σῶμα ὅλον· ἐν τῷ οὔρῳ [7] πουλλὰ τὰ ἐμφερόμενα ἦν, ἐθορυβήθη μετὰ ταῦτα.

41. [8] Πληϊάδων περὶ δύσιν, τὴν Ὀλυμπιάδεω, ὀκτάμηνον ἔχουσαν, ἐκ πτώματος πυρετὸς ὀξὺς ἔλαβε· γλῶσσα καυσώδης, ξηρὴ, τρηχεῖα, ὠχρή· ὀφθαλμοὶ ὠχροὶ, καὶ τὸ χρῶμα νεκρῶδες. Διέφθειρε πεμπταῖα· ῥηϊδίως ἀπήλλαξε, καὶ ὕπνος, ὡς ἐδόκεε, [9] κωματώδης· δείλης διεγειρόντων οὐκ ἠσθάνετο, πταρμικῷ ὑπήκουσε, πόμα κατεδέξατο καὶ γυλοῦ, [10] ὑπέβησσε καταπίνουσα τὸ πόμα· ἡ φωνὴ οὐκ ἐλύετο, οὐδὲ [11] αὐτή τι ἀνέφερεν· τὰ ὄμματα κατηφέα· πνεῦμα μετέωρον, κατὰ [12] ῥῖνα σπώμενον· χρῶμα πονηρόν· ἱδρὼς περὶ τοὺς πόδας καὶ σκέλεα [13] περὶ θάνατον ἐούσῃ· ἐτελεύτησεν.

42. Τῇ Νικολάου [14] εὐνέτιδι ἐκ καύσου τὰ παρ' οὗς ἐγένετο ἐπ' ἀμφοτερα, ὀλίγῳ ὕστερον τὸ ἕτερον, ἤδη δοκέοντος χαλᾶν τοῦ πυρετοῦ. Ὡς [15] οἶμαι, περὶ τεσσαρεσκαιδεκάτην μεγάλα· ἀσήμως κατέστη· ὑπέστρεψεν· χρῶμα νεκρῶδες, γλῶσσα τρηχεῖα, [16] δασέη σφόδρα,

[1] Δὲ ἐτέλει C. — [2] τε DFHIJK. – κατεῖχεν CDFGHIK, Ald. – κατέσχεν vulg. — [3] κωμ. C. – νύκτα FI. — [4] δεκάτην Codd., Lind. – ι vulg. – καὶ om. C. – τρισκαιδεκάτης C. – τρισκαιδεκάτην J. – τριακαιδεκάτην Lind. – ιγ vulg. – γ D. — [5] τρίτης καὶ δεκάτης C. – τριακαιδεκάτης Lind. – ιγ vulg. – ἀπὸ δὲ τῆς τρίτης μέχρι τῆς τρισκαιδεκάτης D. – ἀπὸ δὲ τῆς τρίτης ἀπὸ δὲ τῆς τρισκαιδεκάτης J (ιγ FI). — [6] τῷ om. C. – καὶ πυρ. om. C. — [7] πουλλὰ D. – πολλὰ vulg. – ἐμφ. C. – ἐκφ. vulg. — [8] μετὰ πλ. δ. C. – τρηχείη C. – τραχ. vulg. – χρῶμα C. – σῶμα vulg. — [9] κωμ. DQ'. – καυματώδης vulg. — [10] ὑπέσεισε C. — [11] αὔτη H. – αὐτῇ Codd. ap. Foes in notis. – Dans le Gl. de Galien ἀναφέρειν est expliqué par *avoir la respiration entrecoupée :* il me semble que c'est le sens qu'il faut suivre dans cette phrase obscure. Foes, qui indique ce sens de Galien, traduit néanmoins : neque ipsa quicquam convalescebat. — [12] ῥῖνα DIJ, Kühn – ῥίνα vulg. — [13] τελευτήσης pro π. θ. ἐ. ἐτ. C. – ἐούσης K. – ἐοῦσα H. — [14] εὐν. om. C. – εὐνέτη K. –

dantes ; l'hypochondre gauche se gonfla, et, le seizième, devint très-enflé ; respiration déjà râlante ; sueur au front et au cou, rarement à la poitrine ; les extrémités et le front restaient assez froids, le battement des veines aux tempes persistait ; du sommeil comateux et le jour et la nuit dans les derniers temps ; urine dès le début crue, cendrée ; ténue et non de mauvaise couleur, vers le dixième et jusqu'au treizième ; mais, à partir du treizième, telle qu'au début.

40. (*Douleur de côté ; sueur ; guérison.*) Chez Cléochus, douleur de côté, fièvre ; la fièvre diminua ; il eut une sueur générale ; dans l'urine nageaient beaucoup de particules suspendues, elle se troubla ensuite.

41. (*Chute ; avortement ; fièvre ; mort.*) Vers le coucher des Pléiades, la femme d'Olympiadès, grosse de huit mois, fut prise, à la suite d'une chute, d'une fièvre aigue ; langue brûlée, sèche, âpre, jaune ; yeux jaunes, couleur cadavéreuse. Elle avorta le cinquième jour ; l'avortement fut facile ; sommeil comateux, à ce qu'il parut ; le soir on fit d'inutiles efforts pour la réveiller ; un sternutatoire en vint à bout ; elle prit une boisson et un peu de décoction d'orge, elle eut quelque peu de toux en avalant la boisson, la voix ne se déliant pas (Ép. II, 6, 2 et 4), la malade n'avait aucunement la respiration entrecoupée ; yeux enfoncés ; respiration élevée, s'exécutant par les narines ; couleur mauvaise ; sueur aux pieds et aux jambes à l'approche de la mort ; elle succomba.

42. (*Causus ; parotides ; disparition des parotides ; mort.* Coaq., 204.) La concubine de Nicolaüs, dans un causus, eut des parotides des deux côtés, l'une un peu après l'autre, alors que la fièvre semblait déjà se relâcher. Ces tumeurs, vers le quatorzième jour, je pense, étaient grosses ; elles s'affaissèrent sans signe ; récidive ; couleur cadavéreuse ; langue âpre, très-héris-

ὀλίγῳ CDFHIK. — ὀλίγον vulg. — [περὶ] τὸ ἔτ. Lind. — χαλεποῦ pro χαλᾶν K. [15] οἶμαι C. — οἴδημα pro οἶμαι vulg. — τεσσαρεσκαιδεκάτην CFIJ, Lind. — τῷ vulg. — [16] δασείη Lind.

ὑπόλευκος, διψώδης· ὑποχώρησις κάτω, πολλὴ, ὑγρὴ, [1] κακώδης παρὰ πάντα τὸν χρόνον, πρὸ τῆς τελευτῆς ἐφθάρη τὸ σῶμα τῷ πλήθει· ἐτελεύτησε περὶ τὰς εἴκοσιν.

43. Ἀνδρέαν πρὸ [2] πληϊάδος, φρίκη, πυρετὸς, ἔμετος· ἀπ' ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο. Τριταῖος δ' οὖν ἐὼν, πάλιν ἀγοράζων ἔφριξε· πυρετὸς ὀξὺς· ἔμετος χολῆς ἀκρήτου· παραλήρησις ἐς νύκτα· [3] ῥάων πάλιν. Πέμπτῃ, χαλεπῶς. [4] Ἕκτῃ, ἀπὸ λινοζώστιος εὖ ὑπῆλθεν. [5] Ἑβδόμῃ, χαλεπώτερον· καὶ τὰς ἐρεξῆς [6] ξυνεχέστερος ἤδη, καὶ ἀνίδρωτος ἀπ' ἀρχῆς, καὶ διψώδης· μάλιστα δὲ [7] στόμα ὑπεξηραίνετο, καὶ πόμα οὐδὲν ἡδέως προσεδέχετο, ἀηδίης πολλῆς ἐούσης περὶ τὸ στόμα· γλῶσσα ξηρὴ, [8] ἄκροπις, τρηχύτης ἐπήνθει [9] ὠχρόλευκος· ἄγρυπνος, ἀσώδης, ἐκλελυμένος, κεκλασμένος· γλῶσσα ὑπὸ ξηρότητος ἐνίοτε ὑπότραυλος, ἕως διαβρέξειεν· χυλὸν μάλιστα προσεδέχετο. [10] Ἐναταίῳ ἢ δεκαταίῳ παρ' οὗς ἀριστερὸν καὶ [11] παρὰ τὸ ἕτερον ἐπάρματα [12] σμικρά· ἀσήμως ἐφάνη· οὖρα διὰ παντὸς οὐκ ἄχροα, ἄνευ δὲ ὑποστάσιος. [13] Τεσσαρεσκαιδεκαταίῳ ἱδρώτιον περὶ τὰ ἄνω· οὐ πολὺ μετρώτερον ἡ θέρμη, περὶ τὰς [14] ἑπτακαίδεκα ἐμωλύνθη. Κοιλίη [15] μετὰ τὰς δέκα ξηρὴ, οὐκ ἄνευ βαλάνων ὑποχωρέουσα. Περὶ δὲ τὰς [16] πέντε καὶ εἴκοσιν, ἐξανθήματα δι' ὀλίγου κνησμώδεα, θερμὰ, ὥσπερ πυρίκαυστα. Ὀδύνη δὲ ἦν περὶ [17] τὰς μασχάλας καὶ τὰ πλευρά· ἐς σκέλεα διῆλθεν ἀσήμως, καὶ ἔληξεν. Λουτρὸν ὠφέλει καὶ χρίσμα τὸ ἐν τῷ ὄζει. Μηνὶ [18] δὲ δευτέρῳ ἴσως ἢ τρίτῳ, ἐς νεφροὺς [19] ἡ ὀδύνη, καὶ πρότερόν ποτε γενομένη, κατέστη.

[1] Κάκοδμος K. – εἴκοσιν CDFIJ. – κ vulg. — [2] πληϊάδος Codd., Ald., Frob. – πληϊάδεος vulg — [3] ῥέων C. – [τετάρτῃ] ῥ. Lind. — [4] ς H. – καλῶς pro εὖ C. — [5] ἑδδόμῃ CDJ, Lind. – ξ vulg. – χαλεπωτέρως D. — [6] ξ. Codd., Lind. – σ. vulg. — [7] δὲ τὸ σ. DFHJK. — [8] κόπρος, in marg. al. manu ἄκροαπις C. – ἀκροαπὶς L. – Le Gl. de Galien rend ce mot obscur par *qui articule mal*. Schneider, dans son Suppl., demande si on devrait lire ἀκροαφής. Quelle que soit la forme du mot, le sens en est bien celui qu'indique Galien; cela est prouvé par un autre passage où ce mot est employé, p. 414, l. 14. — [9] ὠχρόλευκος ..... ξηρότητος om. K. — [10] ἐνν. CFG, Lind. — [11] παρὰ Codd. – περὶ vulg. – ἔπαρμα τὰ C. — [12] σμ. Codd. – μ. vulg. – ἠφανίσθη C. — [13] ιδ H. — [14] ἑπτακαιδεκα CDJ, Lind. – ιζ vulg. – ἐμολύνθη Codd., Ald., Frob. — [15] περὶ pro μ. K. – δέκα CDFHIJ. – ι vulg. – εἴκοσι Lind. – βαλάνων Lind. – βαλανείων vulg. – βαλανείῳ Ald. — [16] πέντε καὶ εἴκοσιν C. – εἰκοσιπέντε J, Lind. – κε vulg. – δι' om., in marg. al. manu δι' ὅλου C. — [17] τὰς om. C. – τὰ om. C. – ὠφελεῖ C. – χρῶμα, ῆ supra ῶ C. — [18] δ. om. C. – β G. — [19] ἡ om. H.

sée, un peu blanche ; soif ; déjections abondantes, liquides, fétides durant tout le cours de la maladie. Avant la mort, le corps se fondit par la quantité des évacuations ; elle succomba vers le vingtième jour.

43. (*Fièvre tierce, devenant continue.*) Chez Andréas, avant le lever des Pléiades, frissonnement, fièvre, vomissement ; dès le début, la fièvre parut être hémitritée. Étant donc au troisième jour et se trouvant sur la place publique, il eut derechef un frisson ; fièvre aiguë ; vomissement d'une bile intempérée ; délire dans la nuit ; puis, de nouveau amendement. Le cinquième, état pénible. Le sixième, il fut bien évacué par la mercuriale. Le septième, aggravation ; et les jours suivants la fièvre prit de plus en plus le caractère continu ; dès le début, absence de sueur ; soif ; la bouche était particulièrement sèche ; et il ne prenait avec plaisir aucune boisson, la bouche ayant un goût très-désagréable ; langue sèche, articulant mal ; il s'y développait des aspérités d'un blanc jaune ; insomnie ; haut-le-cœur ; résolution, brisement ; la langue était parfois un peu bégayante à cause de la sécheresse, jusqu'à ce qu'il l'eût humectée ; il prenait de préférence de la décoction d'orge. Le neuvième ou le dixième jour, près de l'oreille gauche et près de la droite, tumeurs petites, elles parurent sans signe ; urine, durant tout le temps, d'une couleur qui n'était pas mauvaise, mais sans dépôt. Le quatorzième, petite sueur dans les parties supérieures ; la chaleur fébrile n'en fut guère mitigée, elle tomba vers le dix-septième. Après les dix premiers jours, ventre resserré, point d'évacuation sans suppositoire. Vers le vingt-cinquième, un exanthème prurigineux, chaud, semblable à des brûlures, parut peu à peu. Il y avait aux aisselles et aux côtés une douleur qui descendit aux jambes sans signe et cessa. Le bain soulageait, ainsi que la friction avec le vinaigre. Au deuxième mois peut-être ou au troisième, la douleur qui précédemment aussi s'était parfois fait sentir aux reins, se fixa dans ces organes.

44. Ἀριστοκράτει, περὶ ἡλίου [1] τροπὰς χειμερινὰς, κόπος καὶ ῥρίκη καὶ θέρμη· μετὰ δὲ ἤρξατο τριταίῳ πλευροῦ ὀδύνη καὶ ὀσφύος, καὶ οἴδημα ἐκ τῆς μασχάλης [2] ἀρξάμενον παρ' ὅλον τὸ δεξιὸν πλευρὸν, σκληρὸν, ἐρυθρὸν, πελιδνὸν, ὡς [3] ὑπὸ πυρὸς θαλφθὲν καὶ ἐκκεκαυμένον. [4] Ἀσώδης, δυσφόρως ἔχων, σφόδρα διψώδης, γλῶσσα ὑπόλευκος, οὖρα οὐκ ἐχώρεε, σκέλεα ὑπόψυχρα· ὑποχώρησις ἀπὸ λινοζώστιος ὀλίγη, ὑγρὰ, ὑπόλευκα, ἀφρώδεα. Ἐς νύκτα πνεῦμα ἐμετεωρίζετο· ἱδρώτιον περὶ μέτωπον· [5] τὰ κάτω ψυχρά· ἀσώδης· τράχηλος ἐνεφυσᾶτο· βὴξ οὐκ ἐνῆν· ἐτελεύτησεν ἔμφρων.

45. [6] Μνησιάνακτι, περὶ φθινοπωρον, ὀφθαλμίη, μετὰ δὲ τεταρταῖος πυρετός· ἀρχομένου τοῦ τεταρταίου, σφόδρα ἀπόσιτος, προσιόντος δὲ, ἡδέως πρὸς σιτίον· καὶ [7] Πολυχάρει δὲ ἐν τεταρταίῳ ὅμοια τὰ περὶ τὴν σίτισιν. [8] Ξυνέθη δὲ καὶ τῷ Μνησιάνακτι ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ, καὶ μετὰ ἐπὶ πουλὺν χρόνον παρηκολούθει πολλῶν, λευκῶν, μυξοποιῶν, καὶ ἔστιν ὅτε σμικρὸν αἷμα ἄνευ [9] τόνων καὶ ὀδύνης· ψόφοι δὲ ἐν γαστρί. Μετὰ τὸν πυρετὸν, ἀπέστη παρὰ τὴν [10] ἕδρην φῦμα σκληρὸν, πουλὺν [11] χρόνον παρηκολούθει ἄπεπτον, ἐῤῥάγη ἐς τὸ ἔντερον, καὶ ἔξω συριγγῶδες ἐγένετο. Περιπατοῦντι δ' αὐτῷ ἐν τῇ ἀγορῇ, μαρμαρυγαὶ [12] ὡρῶντο πρὸ τῶν ὀφθαλμῶν, καὶ τὸν ἥλιον οὐ πάνυ καθεώρα· ἀποχωρήσας δὲ [13] σμικρὸν ἐξ ἑωυτοῦ ἦν καὶ τράχηλον σπασμώδης. Ἐπεὶ δὲ ἐκομίσθη ἐς οἶκον, μόγις ἀνέβλεψε, καὶ αὐτὸς ἑωυτοῦ [14] μόγις ἐγένετο· τὸ πρῶτον δὲ περιέβλεπε τοὺς περιεστῶτας, καὶ τὸ σῶμα

[1] Τροπέας (sic) C. – τροπέων χειμερινέων (D, emend. al. manu) FGHIJK, Ald – ὀσφύος FGI, Ald., Frob. — [2] ἀρξ. παρ' (παρ' ..... ἀρξάμενον om. C) ὅλ. τὸ δ. πλ. σκληρὸν (σκληρὸν ..... πελιδνὸν om. FG) κατὰ ταύτην (δ' αὐτὴν pro τ. DHIJK) πλευρὴν ἐκ μασχάλης ἀρξάμενον ἐρυθρὸν (καὶ CH) πελιδνὸν (παρ' ὅλον τὸ δεξιὸν πλευρὸν pro ἐρυθρὸν πελιδνὸν DIJK) vulg. — [3] ὑπόπυρος (sic) FGIJ, Ald. – ὑποθαλφθὲν sine πυρὸς H. – θαλφὲν (sic) F. — [4] [ἦν δὲ] ἀσ. Lind. – ὀυσφόρως ἔ. σ. δ. om. (D, restit. al. manu) FGIJK. — [5] τὰ CH. – τὰ om. vulg. – τράχηλον D. — [6] Μνησιάνακτι CDHIJK. – Ὀνησιάνακτι vulg. – Μνησιάναξ se trouve quelques lignes plus bas. Faut-il voir ici deux observations, l'une relative à Onesianax et l'autre à Mnesianax, ou une seule relative à ce dernier personnage ? Le concours de six mss., et la mention de l'hiver, p. 414, l. 8, laquelle, dans le contexte, fait supposer qu'il a été parlé d'une saison antécédente (ici l'automne), m'ont fait adopter la dernière alternative. – ἀρχόμενος CHIK. – ἀρχομένης J. – ἀπόσειτος C. — [7] πολυχάρει K. – Πολυχάρι vulg. – πολύχαρι CDJ. – σίτισιν, τη supra τι

44. (*Phlegmon des parois de la poitrine; emphysème du cou; mort.*) Chez Aristocratès, vers le solstice d'hiver, lassitude, frissonnement et chaleur; puis, le troisième jour, une douleur du côté et des lombes se fit sentir, et il se forma une tumeur commençant à l'aisselle et s'étendant sur tout le côté droit, tumeur dure, rouge, livide, comme si la partie avait été touchée par le feu. Haut-le-cœur, mal-être, grande soif, langue un peu blanche, point d'urine, jambes un peu froides; la mercuriale amena des déjections peu abondantes de matières liquides, blanchâtres, écumeuses. La nuit, la respiration devint élevée; petite sueur autour du front; extrémités inférieures froides; haut-le-cœur; emphysème du cou; point de toux; il mourut ayant sa connaissance.

45. (*Ophthalmie; fièvre quarte; diarrhée longtemps prolongée; abcès et fistule au fondement; affection mélancolique.*) Mnésianax, vers l'automne, eut une ophthalmie, puis une fièvre quarte; au commencement de la fièvre quarte, anorexie complète, mais plus tard il mangeait avec plaisir; il en fut de même de Polycharès, dans une fièvre quarte, pour l'appétit. Dès avant la fièvre Mnésianax avait eu des déjections qui, après la fièvre, se prolongèrent longtemps, déjections abondantes de matières blanches, muqueuses; et parfois il s'y joignait un peu de sang, ce qui n'était accompagné ni d'efforts ni de douleur; gargouillements dans le ventre. Après la fièvre il se forma un dépôt au siége, tumeur dure qui resta longtemps crue; elle s'ouvrit dans l'intestin et devint fistuleuse à l'extérieur. Se promenant dans le marché, il aperçut des lueurs devant ses yeux; il ne voyait pas complétement le soleil. S'étant mis un peu à l'écart, il était hors de lui et ressentait des spasmes dans le cou. Ayant été transporté dans sa

C. — [8] ξ. C, Lind. – σ. vulg. – καὶ om. C. – ἐπὶ Codd., Ald., Frob. – τὸν pro ἐπὶ vulg. — [9] πόνων C. – πόνων vulg. — [10] ἔδρακν D. – φύμα FIK. — [11] π. δὲ χρ. IK. – ἄπεμπτον FJ. – ἀγορῇ C. – ἀγορᾷ vulg. — [12] ὡρ. om. C. – ὡρῶτο FHIJ. – ὁρῶντο DK, Ald., Frob. — [13] μικρὸν Codd. – τράχηλος C. — [14] μόλις CD.

κατεψύχθη, μόγις δὲ ἀνεθερμάνθη ἀσκίοισι καὶ πυρίῃ ὑπὸ τῇ [1] κλίνῃ. Ἐπεὶ δ' ἐντὸς ἑωυτοῦ ἦν, καὶ ἐξανίστατο, οὐκ ἐξιέναι ἤθελεν, ἀλλὰ δεδιέναι [2] ἔλεγεν· εἰ δέ τις περὶ νουσημάτων χαλεπῶν διαλέγοιτο, ὑπεξήρχετο φόβῳ· ἔστι δ' ὅτε προσπίπτειν αὐτῷ πρὸς τὰ ὑποχόνδρια θερμασίην ἔφη, καὶ τῶν ὀφθαλμῶν μαρμαρυγὰς παρακολουθεῖν. Καὶ ἡ ὑποχώρησις [3] πουλλὴ, καὶ πολλάκις, καὶ ὁμοίη χειμῶνος ξυνέβη. Φλεβοτομίη [4] γέγονεν· ἐλλέβοροι· γαλακτοποσίη βοείου, πρότερον δὲ ὀνείου, ξυνήνεγκε, καὶ τὰς ὑποχωρήσιας ἔπαυσεν· ὑδροποσίη ἀπ' ἀρχῆς, περίπατοί τε καὶ κεφαλῆς καθάρσιες.

46. Τῷ Ἀνεχέτου [5] ταὐτά· χειμῶνος ἐν βαλανείῳ πρὸς πυρὶ χριόμενος ἐθερμάνθη, [6] καὶ παραχρῆμα περιέπεσεν ἐπιληπτικοῖς σπασμοῖς· [7] ἐπεὶ δ' ἀνῆκαν οἱ σπασμοὶ, περιέβλεπεν, οὐ παρὰ ἑωυτῷ ἦν. Ἐπεὶ [8] δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο, πάλιν τῇ ὑστεραίῃ πρωῒ ἐλήφθη· σπασμώδης· ἀφρὸς [9] δὲ οὐ πάνυ· καὶ τρίτῃ ἄκροπις· καὶ τετάρτῃ ἐπεσήμαινε τῇ γλώσσῃ, ἔπταιεν, οὐχ οἷός τε ἦν λέγειν, ἀλλ' ἴσχετο ἐν τῇσιν ἀρχῇσι τῶν ὀνομάτων. Καὶ τῇ [10] πέμπτῃ γλῶσσα σφοδρὰ, καὶ ὁ σπασμὸς ἐπεγένετο, καὶ [11] ἐκτὸς ἑωυτοῦ ἐγένετο· ὅτε δὲ ἠνίει ταῦτα, ἡ γλῶσσα μόγις ἀποκαθίστατο εἰς τωὐτό. [12] Ἑκταίῳ ἀποσχομένῳ πάντων, καὶ [13] ῥοφήματος καὶ [14] ποτοῦ, οὐδέν· καὶ οὐκ ἔτι ἐλάμβανεν.

47. Κλεόχῳ ἐκ κόπων καὶ γυμνασίων, μέλιτι τὰς ἡμέρας διαχρωμένῳ, οἴδημα ἐς γόνυ δεξιὸν, μᾶλλον δὲ ἐς τὸ κάτω περὶ τοὺς τένον-

[1] Κλίνη C. – καινῇ vulg. – δὲ (δ' DFGHIJ) ἑωυτοῦ (ἑαυτοῦ DFHIJK; ὡυτοῦ Ald., Frob.) ἐντὸς vulg. – δ' ἐντὸς ἑ. C. — [2] ἔφη C. – τε pro δὲ C. – νοσ. CHIK. – χαλαιπῶν, Ald., Frob. – διαλέγοιτο C (H, ex emend.). – διελέγετο vulg. – ὑπεξέειν (sic) φόβον C. – ἔστι δ' ὅτε C. – ἔστιν ὅτε vulg. — [3] πολλὴ C. – χειμ. om. (D, restit. al. manu) FGIJK. — [4] γέγ. om. C. – γαλακτοποσίη C. – γαλακτοποσίαι vulg. – ὑδρωποσίη DFGIK, Ald., Frob. – καὶ περίπατοί τε CH. — [5] ταῦτα H. — [6] καὶ om. DFGHJK. – περιέπεσεν om. C. – ἐν ἐπιλ. vulg. – ἐν om. CD. – σπάσμασιν C. — [7] ἐπειδὰν δὲ (δὲ om. C) ἱκανοὶ σπασμοὶ vulg. – Ce texte est altéré, ma correction est certaine, car elle n'est que la leçon de C lue comme elle doit l'être. – περιεβλεπον DFGHJK, Ald. – παρ' C. – περὶ DFGIJK, Ald. – περὶ ἑωυτοῦ H. — [8] δ' C. – ἐγένετο ἑωυτοῦ CHK. – ἐγέν. om. DFIJ. – ἦν pro ἐγ. Ald. – ἐλήμφθη I. — [9] δ' C. – ἄκροπες H. – Voy. p. 410, note 8. – ἐπεσήμανε C. – αὐτῇ τῇ γλώσσῃ C. – γλώττῃ vulg. – ἔπταιεν CHIK. – πεμπταῖος pro ἔπτ. vulg. — [10] πέμπτη Codd., Lind. – ε vulg. – ἐπεγέν. CDQ', Lind. – ἐξεγέν. vulg. — [11] ὁ ἐξ pro ἐκτὸς C. – ὅτε D. – ἠνία K. – ἠνείη, in marg. al. manu ἠνείη C.

maison, il pouvait à peine distinguer les objets et ne revint que difficilement à lui ; d'abord il considérait les assistants, le corps était très-refroidi et on le réchauffa à grand'peine en mettant sous le lit des vases pleins d'eau chaude. Ayant repris sa connaissance, il se leva, mais il ne voulait pas sortir, disant qu'il avait peur ; si on venait à parler de maladies dangereuses, la crainte qu'il ressentait le faisait quitter la place ; il disait éprouver parfois de la chaleur aux hypochondres, et avoir constamment des lueurs devant les yeux. Les selles étaient abondantes et fréquentes et demeurèrent telles pendant l'hiver. On le saigna, on l'évacua avec l'hellébore ; le lait de vache et auparavant le lait d'ânesse furent utiles et arrêtèrent les selles. L'eau pour boisson au début, des promenades et des purgations de la tête.

46. (*Affection épileptiforme.*) Le garçon d'Anéchétus éprouva des accidents analogues : en hiver, dans un bain, se frictionnant auprès du feu, il eut chaud et soudain tomba saisi de spasmes épileptiques ; les spasmes ayant cessé, il tournait les yeux autour de lui et n'avait pas sa connaissance. Il revint enfin à lui, mais le lendemain au matin il fut pris derechef ; spasmes, il n'y avait guère d'écume. Le troisième jour, langue articulant mal. Le quatrième, la langue donna quelques signes de l'invasion du mal, elle trébuchait, il ne pouvait prononcer, mais s'arrêtait au commencement des mots. Le cinquième, langue très-affectée ; les spasmes se déclarèrent, et il perdit connaissance ; quand ces accidents se calmaient, la langue revenait difficilement à l'état naturel. Le sixième, ayant été mis à l'abstinence de tout, décoction d'orge et boisson, il n'eut rien et ne fut plus repris.

47. (*Scorbut.*) Cléochus, à la suite de fatigues et d'exercices, ayant usé de miel pendant quelques jours, il lui survint une tumeur au genou droit, surtout à la partie inférieure autour

— ἀποκαθίστατο C. — ἀπεκαθίστατο vulg. — τοῦτὸ C. — ταὐτὸ vulg. — [12] ς G. — [13] ὑφ. CDFHJK, Ald. — [14] ποτοῦ, καὶ (καὶ om. CH) οὐκ ἔτι (ἔστιν, in marg. al. manu ἔτι C ; οὐκέτι DHIJK) οὐδένος (οὐδένος C, ἐλ. vulg.

τας τοὺς ὑπὸ τῷ [1] γούνατι· περιήει ὑποχωλαίνων· καὶ ἡ γαστροκνημίη ᾠδει, καὶ σκληρὴ ἦν, καὶ ἐς τὸν πόδα, καὶ ἐς [2] τὸ σφυρὸν τὸ δεξιόν· καὶ ἐς τὰ οὖλα παρ' ὀδόντας, μεγάλα ὡς ῥάγες, πελιδνὰ, μεμελανωμένα, ἀνώδυνα, ὁπότε μὴ ἐσθίοι, καὶ τὰ σκέλεα, εἰ μὴ ἐξανασταίη· ἦλθε γὰρ [3] καὶ ἐς τὸ ἀριστερὸν τὸ οἴδημα, ἧσσον δέ· καὶ [4] ἀπελειαίνετο ἐν τοῖσιν οἰδήμασι τοῖσι περὶ γούνατα καὶ πόδας, ὥσπερ [5] ὑπόπυα. Τέλος δὲ οὐχ οἷός τε ἦν ἵστασθαι, οὐδ' ἐπὶ τὰς πτέρνας ἐπιβαίνειν, ἀλλὰ κλινοπετὴς [6] ἦν. Θέρμαι δῆλοι ἐνίοτε· ἀπόσιτος, οὐ πάνυ διψώδης· [7] οὐδὲ ἐπὶ θᾶκον ἀνίστατο, ἀσώδης, καὶ ἔστιν ὅτε [8] καὶ ὀλιγοψυχίῃ ἴσχετο. [9] Ἐλλέβοροι προσήχθησαν, κεφαλῆς καθάρσιες· πρὸς τὸ στόμα μαννῶδες ξὺν τοῖσιν ἄλλοισι μισγομένοισι ξυνήνεγκεν· πρὸς τὰ ἐν τῷ στόματι ἕλκεα, [10] ῥόφημα φακὴ ἐπιτήδειον. Περὶ δὲ ἑξηκοστὴν κατέστη τὰ οἰδήματα πρὸς τοῦ [11] δευτέρου ἐλλεβόρου μοῦνον· [12] ὀδύναι ἐς τὰ γούνατα κατακειμένῳ ἦλθον, ὑγρὸν δὲ καὶ χολὴ ἀπέστη ἐς γούνατα, καὶ πλείους ἡμέρας [13] πρὸ τοῦ ἐλλεβόρου.

48. Πεισιστράτῳ ὤμου ἄλγημα, καὶ βάρος [14] πουλυχρόνιον περιπατοῦντι καὶ τἆλλα ὑγιαίνοντι· χειμῶνος δὲ ἐπέπεσε [15] πουλλὴ ὀδύνη πλευροῦ, καὶ θέρμη, καὶ βῆξ, ἀπόχρεμψίς τε αἵματος ἀφρώδεος· [16] τοῦτο καὶ βεγχῶδες ἐν τῇ φάρυγγι· εὔφορος δὲ καὶ παρ' ἑωυτῷ. Καὶ ἡ θέρμη ἐχάλασεν, ἅμα δὲ καὶ ἡ ἀπόχρεμψις, καὶ τὸ κέρχον· [17] καὶ περὶ τετάρτην ἢ πέμπτην ἡμέρην ὑγιής.

[1] Γόνατι DHI. – ὑποχολ. K, Frob. – γαστροκνήμη C. — [2] τὸ (*bis*) DK. – τὸν vulg. – μεμελανωμένα DHK. – μεμελανώμενα vulg. – μελαινόμενα C. – ἐσθίοι CHIK. – ἐσθίει DFJ. – ἐσθίῃ vulg. – ἐξανίστατο C. — [3] καὶ C. – καὶ om. vulg. — [4] ἀπελειαίνετο C. – ἐπελαίνετο DHK. – ἀπολιαίνετο vulg. – Cela doit signifier *se laissait affaisser*: cependant il serait possible qu'il fallût lire ἐπεχλιαίνετο, *présentait de la chaleur;* les copistes confondent ἐπιλειαίνω et ἐπιχλιαίνω, comme on le voit Ép. II, p. 86, note 14. Les traducteurs latins ont traduit comme s'il y avait ἐπελιοῦτο. — [5] ὑπώπια C. — [6] ἦν om., restit. al. manu C. — [7] οὐδ' HK. – θάκον, in marg. θᾶκον C. – θᾶκον DFGHIJK, Ald. – θράνον Gl. de Gal., où ce mot est expliqué par *chaise percée*. – Peut-être faut-il lire ὅτε δὲ ἐπὶ κτλ. : Quand il se mettait sur la chaise percée, il était pris de haut-le-cœur, etc. — [8] καὶ om. C. – ἴσχ. om. C. — [9] προ. om. C. – [καὶ] κεφ. Lind. – μανιῶδες C. – τοῖς D. – ἄλλ. om. C. — [10] ῥύφ. Codd., Ald. – φακὴ Codd. (φακῇ K), Ald., Frob. – φακῆς vulg. – δὲ om. C. — [11] β H. — [12] ὀδῦναι CFGI, Ald., Frob. – γόνατα G, Ald. — [13] πρὸς FGHIJ. – πρὸς τὸν ἐλλέβορον (D, emendatum alia manu) L. — [14] πουλυχρόνιον C. – πολυχρόνιον DHIJK. – πολὺ χρόνιον

des tendons placés sous le genou ; il allait et venait boitant un peu ; le mollet enfla et se durcit, état qui gagna le pied et la cheville du côté droit, aux gencives, près des dents, gros tubercules comme des grains de raisins, livides, noirs, indolents quand il ne mangeait pas ; les jambes aussi étaient indolentes quand il ne se tenait pas debout ; en effet la tuméfaction avait gagné la jambe gauche, mais elle y était moindre. Les tumeurs autour des genoux et des pieds cédaient à la pression, comme si elles contenaient une matière purulente. Finalement il devint incapable de se tenir debout et de marcher ; il s'alita. Chaleur fébrile parfois manifeste ; anorexie, peu de soif ; il ne pouvait même se lever pour se mettre sur la chaise percée, ayant des haut-le-cœur et parfois des défaillances. L'hellébore fut administré ; purgations de la tête ; pour la bouche, la poudre d'encens avec les autres ingrédients mélangés fut utile ; les ulcérations de l'intérieur de la bouche se trouvèrent bien de la décoction de lentilles. Vers le soixantième jour, les tumeurs se résolurent à la seconde administration de l'hellébore seulement ; des douleurs étaient venues aux genoux pendant le séjour au lit, du liquide et de la bile s'étaient déposés sur les genoux plusieurs jours même avant l'administration de l'hellébore.

48. (*Douleur de longue durée à l'épaule ; puis invasion d'une douleur dans le côté ; hémoptysie ; guérison. Comp.* Ép. v, 92, *et* Aph. vi, 22.) Pisistrate eut à l'épaule une douleur et une pesanteur qui persistèrent longtemps sans l'empêcher de se lever et du reste de se bien porter. En hiver, il fut pris d'une douleur considérable dans le côté avec chaleur, toux et expectoration d'un sang écumeux ; de plus râlement dans la gorge ; mais il supportait bien son mal, et avait toute sa connaissance. La chaleur cessa, et en même temps l'expectoration et le râle ; et vers le quatrième ou le cinquième jour il fut guéri.

vulg. – πολὺν χρόνον Lind. – περικρατοῦντι C. — [15] πουλλὴ D. – πολλὴ vulg. – πλ. ὀδ. sine πουλλὴ C. — [16] τούτῳ C. – ἐχάλασσεν C. – ἅμα δὲ om. C. – ὀδὴ DFGIK. – κέρχρον C. — [17] καὶ om. C. – ὀ ὴ ε K.

49. Τῇ [1] Σίμου ἐν τόκῳ σεισθείσῃ, ἄλγημα περὶ στῆθος καὶ πλευρόν· βὴξ, πυρετοὶ, [2] ἀποχρέμψιες πυώδεες. Φθίσις κατέστη· καὶ ἓξ μῆνας οἱ πυρετοί· καὶ [3] διάῤῥοιαι αἰεί· ἐπὶ τέλει, παῦσις πυρετῶν· κοιλίη ἔστη μετὰ τὴν παῦσιν· ἡμέρας μεθ' ἑπτὰ ἐτελεύτησεν.

50. Καὶ [4] ἡ Εὐξένου· ἐκ πυριήσιος, ὡς ἐδόκει· θέρμαι οὐκ ἔλειπον οὐδένα χρόνον, μᾶλλον πρὸς ἑσπέρην ἐπέτεινον· ἱδρῶτες ἐγίνοντο ἐς ὅλον τὸ σῶμα· μέλλοντος ἐπιτείνειν τοῦ πυρετοῦ, [5] ψύξιες τῶν ποδῶν, ὁτὲ δὲ καὶ κνημέων καὶ γουνάτων, ἐγίνοντο· βηχίον ξηρὸν ὀλίγον χρόνον, ἀρχομένου τοῦ πυρετοῦ παροξύνεσθαι, εἶτα [6] ἔληγεν· διὰ δὲ χρόνου πολλοῦ, καὶ [7] ὅλου τοῦ σώματος ῥῖγος ἐγένετο· ἄδιψος διὰ παντός. Φάρμακον πιοῦσα καὶ [8] ὀῤῥὸν, ἐβλάβη μᾶλλον. Ἀπ' ἀρχῆς πάντων ἀνώδυνος καὶ εὔπνοος· μεσοῦντος δὲ τοῦ χρόνου, πλευροῦ δεξιοῦ ἐγένετο ἄλγημα, καὶ ἡ βὴξ ἐκινήθη, καὶ ἆσθμα, καὶ ἀποχρέμψιες σμικραὶ, λευκαὶ, [9] ὑπόλεπτοι· καὶ ἡ φρίκη, οὐκ ἔτι ἐκ ποδῶν, ἀλλὰ ἀπὸ τραχήλου καὶ νώτου· [10] καὶ κοιλίη ὑγροτέρη. Ἐχάλασεν ὁ πυρετὸς μετὰ πολλοῦ [11] ἱδρῶτος, καὶ κατεψύχθη· ἆσθμα δὲ ἦν ποικίλον· ἐτελεύτησε μετὰ τὴν ἄφεσιν [12] ἑβδόμῃ ἔμφρων.

51. [13] Καὶ ἡ Πολεμάρχου θέρεος ἤρξατο πυρεταίνειν· ἀφῆκε δὲ αὐτὴν ἑκταίην· μετὰ δὲ ὑπεφέρετο· ἐς νύκτα θέρμαι· πάλιν δὲ διαλιπὼν ἔλαβεν ὁ πυρετὸς, καὶ οὐκ ἀνῆκε σχεδὸν τριῶν μηνῶν. Βὴξ [14] πουλλή· ἀπόχρεμψις φλέγματος· ἐπεὶ περὶ τὰς εἴκοσιν ἐγένετο.

[1] Σιμῶ vulg. — [2] ἀποχρέμψεες (sic) ὑποπυώδεες C. – ἐς φθίσεις C. – Post φθ. addit καὶ vulg. – Ce καὶ m'a paru être né du voisinage de la syllabe κα, dans le mot suivant et devoir être supprimé. — [3] διάῤῥοια C. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. – πυρετοῦ C. — [4] ἡ om., restit. al. manu D. – ὡς om. vulg. – ὡς aura été omis par les copistes a cause de ος, finale du mot précédent. – ἔλειπον CD. – ἔλιπον vulg. – μᾶλ. [δὲ] πρὸς Lind. – ἐπέτεινον C. – ἐπετείνοντο vulg. — [5] ψύξιες DFHIK. – ψύξηες C. – ψύξις ἐς τῶν π. J. – ψύξις vulg. – κνημίων D – βηχίον C., Lind., Kühn. – βηξίον vulg. – βήξιον Codd., (D, mut. in βηξίον). – εἶτ' C. — [6] ἔληγες C. – δὴ D. — [7] ὀλίγου pro ὅλου C. – ῥῖγος DI Kühn. – ῥίγος vulg. – ἄδιψος Ald. — [8] ὀρον (sic) C. – εὔπνους C. – ἄσθμα et infra, FGHIK, Ald., Frob. – μικραὶ D. — [9] καὶ ὑπ. vulg. – καὶ om Codd. – ὑπόλευκοι K. – οὐκέτι Codd. – ἀπὸ δὲ τρ., alia manu ἀλλ' ἀπὸ τραχ D. — [10] καὶ om. C. – ὑγροτέρα D. — [11] ὑδρῶτος CF. – καὶ om. K. – ποικίλον D. — [12] ζ D. — [13] καὶ C. – καὶ om. vulg. – ὁ G. – δεκαταίη pro δὲ αὐτὴν ἑκτ. C. – ὑπεφέροντο K. – νύκτα FI. – θέρμαι DFHIK. – θέρμα vulg. – θέρμ C, Lind. — [14] πουλλὴ H. – πολλὴ vulg. – ἐπεὶ περὶ τὰς C. – ἐπεὶ περ ὁ τὰς vulg. – κ DK.

49. (*Phthisie à la suite de la succussion dans l'accouchement.* Ép. v, 103. *Voy.* Argument, p. 359, § III.) La femme de Simus ayant été secouée dans l'accouchement, il lui survint de la douleur à la poitrine et au côté; toux, fièvres, expectorations purulentes; la phthisie s'établit; les fièvres, pendant six mois; diarrhée perpétuelle; sur la fin, cessation des fièvres, après quoi le ventre se resserra; sept jours après elle mourut.

50. (*Phthisie.*) De même la femme d'Euxène : à la suite d'un bain de vapeur, à ce qu'il parut; la chaleur ne la quittait en aucun temps, redoublait de préférence vers le soir; des sueurs s'établissaient sur tout le corps; quand la fièvre allait redoubler, les pieds et parfois les jambes et les genoux se refroidissaient; petite toux sèche, pendant un peu de temps, au moment où la fièvre commençait à redoubler, et cessant ensuite; à de longs intervalles, il survenait aussi un frisson de tout le corps; point de soif absolument. Ayant bu un médicament évacuant et du petit lait, son état s'aggrava. Au début elle était tout à fait sans douleur avec une bonne respiration; vers le milieu du temps il survint de la douleur dans le côté droit; la toux se mit en mouvement; gène de la respiration, expectoration de crachats petits, blancs, un peu ténus; le frissonnement partait non plus des pieds, mais du cou et du dos; diarrhée. La fièvre se relâcha avec beaucoup de sueur, et le corps se refroidit; la gène de la respiration était variée; elle succomba le septième jour après la cessation de la fièvre, avec sa connaissance.

51. (*Phthisie.*) Et de même pour la femme de Polémarque : elle commença en été à avoir de la fièvre qui, il est vrai, la quitta le sixième jour. Mais ensuite elle dépérit; dans la nuit, chaleur fébrile; après une intermission, la fièvre la reprit et ne la quitta plus pendant environ trois mois. Toux fréquente; expectoration de pituite; à partir du vingtième jour, respiration toujours fréquente; bruits dans la poitrine; sueur la plupart du temps; au matin la fièvre était plus modérée; parfois

πνεῦμα αἰεὶ πυκνόν· ἐν τῷ στήθει ψόφοι· [1] ἱδρώδης τὰ πολλά· πρωὶ ἠπιώτερος ὁ πυρετός· καὶ φρῖκαι ἔστιν ὅτε ἐλάμβανον· ὕπνοι ἐγίνοντο· καὶ κοιλίη ἔστιν ὅτε καθυγραίνετο, καὶ πάλιν ξυνίστατο· ἐγεύετο ἐπιεικῶς. Μεσοῦντος δὲ [2] τοῦ χρόνου, ἐς γούνατα καὶ κνήμας ἄλγημα· καὶ ξυγκάμπτειν καὶ ἐκτείνειν ἄλλου ἐδεῖτο· διετέλει τὰ τῶν σκελέων μέχρι τελευτῆς· ὑπόγυον δέ· καὶ ἐπῴδησαν αἱ πόδες μέχρι κνημέων, καὶ ἐφαπτομένων ἤλγει· καὶ οἱ [3] ἱδρῶτες ἔληξαν καὶ τὰ ῥίγεα· ὁ δὲ πυρετὸς αἰεὶ ἐπέτεινεν. Πρὸ δὲ τῆς τελευτῆς κοιλίη κατερράγη· ἔμφρων διετέλει· πρὸ τριῶν [4] ἡμερῶν τῆς τελευτῆς, ῥεγχώδης ἐν φάρυγγι, καὶ πάλιν ἐπανίετο, ἐτελεύτησεν.

52. [5] Ἡγησιπόλιος παιδίον σχεδὸν τέσσαρας μῆνας ἄλγημα περὶ ὀμφαλὸν βρωτικὸν εἶχεν· προϊόντος δὲ, ἐπέτεινεν ἡ ὀδύνη, ἔκοπτε τὴν γαστέρα, ἐτίλλετο, θέρμαι ἐπελάμβανον· ἐτήκετο· ὀστέα [6] ἐλείφθη· τὰ πόδια ἐπῴδει, ὄρχιες· γαστρὸς [7] τὸ περὶ ὀμφαλὸν πεφυσημένον ἄρα, οἷον οἷσι μέλλουσι κοιλίαι [8] ἐκταράσσεσθαι· ἀπόσιτος ἐγένετο, γάλα μοῦνον προσεδέχετο· [9] ὑπόγυον, καὶ ἡ κοιλίη καθυγράνθη, καὶ ὕφαιμος ἰχὼρ ὑπῄει κάκοδμος· κοιλίη ἐπίμπρατο. [5] Ἐτελεύτησεν ἐμέσας μικρὸν, βραχὺ, φλεγματῶδες, ὥστε δόξαι οἷον [10] γονὴν τῆς πλατείης. Τελευτήσαντι [11] δ' ἡ ῥαφὴ τῆς κεφαλῆς σφόδρα ἐκοιλάνθη· ἀῤῥωστῶν [12] δ' αἰεὶ τῇ χειρὶ κατῆγε κατὰ τοῦ βρέγματος, μάλιστα δ' ὑπόγυον, οὐκ ἤλγει δὲ τὴν κεφαλήν· καὶ ἐν μηρῷ ἀριστερῷ ὑπὸ

[1] Ἰδρώδεις C. – τὰ πολλὰ DJ, Ald. – ἠπ. Codd., Ald., Frob. – φρῖκαι Kühn. – φρίκαι vulg. — [2] τοῦ DFJK. – τοῦ om. vulg. – ἔδει C. — [3] ἱδρῶτες C. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg. – κοιλία K. – δὲ ἐτέλει C. — [4] ἡμ. τῆς τελ. om. C. – ἐπανίετο C. – ἐπανήρχετο vulg. – ἐτελ. om. C. — [5] ἡγησηπόλιος C. – Ἀγησιπόλιος Q'. – ὁ K. – βρωτικῶς CDK. – βρωτικὸς FJ. – δὲ om. C, — [6] ἐλείφθη D, Lind. – ἐλήφθη vulg. – τὰ πόδια C (πόδεα DF, H ι supra ε, IJK; πόδεε G). – τὼ πόδε vulg. — [7] τὰ vulg. – πεφυσσιγγώμενον (sic) CDQ'. – πεφυσηγομένον (sic) FGIJK. – ἀραιὸν vulg. – ἄρ' οἷον Lind. – J'ai suivi, dans ce passage très-altéré, la conjecture de Cornarius, adoptée par Foes. — [8] ὑποταρ. C. – μοῦνον om. C. — [9] καὶ om. C. – ἐπίμπρατο C, Lind. – ἐμπίπρατο vulg. – ἐμπιπρᾶτο H. — [10] γουνὴν (sic) H. – γεννὰν L. – Calvus, et à sa suite Cornarius, Foes et Linden mettent un point après γονὴν et font un nom propre de πλατείης, de cette façon : Platea filio. Dans cette hypothèse, il faudrait τῷ τῆς Πλατείης. Mais cela tombe devant un rapprochement avec De morb. IV, cap. De vermibus ; on y lit : « L'individu qui a le ténia, rend parfois dans les selles des matières semblables à la graine de concombre ; et il y a des gens qui prétendent que c'est la graine du ténia. » Ἀποπατεῖ γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν

des frissonnements la saisissaient ; il y avait du sommeil ; par intervalle le ventre se relâchait, puis se resserrait; elle avait assez d'appétit. Vers le milieu du temps, douleur dans les genoux et dans les jambes ; il fallait qu'une autre personne les fléchît et les étendît ; cet état des jambes persista jusqu'à la fin, qui ne se fit pas longtemps attendre ; les pieds se tuméfièrent jusqu'aux jambes, ils étaient douloureux au contact ; les sueurs cessèrent ainsi que les frissons ; la fièvre croissait continuellement. Avant la mort, diarrhée violente ; connaissance conservée jusqu'au bout ; trois jours avant la fin, râle dans la gorge, qui cessait par intervalle ; elle succomba.

52. (*Douleur dans le ventre chez deux enfants ; amaigrissement ; la suture du crâne devient creuse. Voy.* Argument, p. 362, § VI.) L'enfant d'Hégésipolis eut, pendant quatre mois environ, vers l'ombilic, une douleur qui le rongeait ; le temps avançant, la douleur s'accroissait ; il se déchirait le ventre, il s'arrachait les cheveux ; des chaleurs le saisissaient, il dépérissait ; il n'avait plus que les os ; ses petits pieds enflèrent ainsi que les testicules ; la région ombilicale était gonflée par des gaz comme chez ceux dont le ventre va se déranger ; il perdit l'appétit, il ne prenait que du lait. Vers la fin, le ventre se relâcha ; selles séreuses, sanguinolentes, fétides ; le ventre s'enflamma. Il mourut après avoir vomi un peu de matières pituiteuses, qui n'étaient pas sans quelque ressemblance avec la graine du ténia (*V. note* 10). A sa mort, la suture de la tête devint extrêmement creuse ; pendant sa vie il portait continuellement la main au bregma, surtout vers la fin, cependant il ne souffrait pas de la tête ; à la cuisse gauche, la partie située au-dessous de l'aîne devint livide ; la veille, peut-être, le gonflement des testicules avait disparu. Il en était arrivé

πλατεῖαν ὁκοῖον σικύου σπέρμα ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ, καὶ τοῦτο εἰσὶν οἱ φήσαντες τῶν ἀνθρώπων τῆς ἕλμινθος τέκνα εἶναι. Il est évident qu'il s'agit, dans notre passage, d'une comparaison avec cette prétendue graine du ténia, et qu'à πλατείης il faut sous-entendre ἕλμινθος. — [41] δ' ἡ C. — δὴ vulg. (δὲ D). — γονὴ, in marg. al. manu ῥαφὴ C. — [42] δὲ C. — αἰεὶ Codd., Ald., Frob., Lind. — ἀεὶ vulg.

βουβῶνα [1] τὸ κάτω, πελιδνόν· ἴσως τῇ προτεραίᾳ ὄρχιες κατισχνάνθησαν. Ὅμοια δὲ καὶ τῷ [2] Ἡγητορίδεω παιδίῳ ἀπέβη, πλὴν ὅτι ἔμετοι προσεγένοντο ὑπὸ τὴν τελευτὴν πλείους.

53. [3] Ἡ Ἱππίου ἀδελφεὴ, χειμῶνος, φρενιτικὴ, ἁμαρτάνουσα, τῇσι χερσὶ πραγματευομένη, ἀμύσσουσα ἑωυτήν· πέμπτῃ, [4] ἕκτῃ, ἐς νύκτα ἄφωνος, κωματώδης, ἐμφυσῶσα ἐς γνάθους καὶ χείλεα, ὡς οἱ καθεύδοντες· ἐτελεύτησε περὶ ἑβδόμην.

54. [5] Ἀσανδρος φρίξας, πλευροῦ ὀδύνῃ, ἄλγος ἐς γούνατα καὶ μηρόν· φαγὼν παρεφρόνει, ἐτελεύτησε ταχέως.

55. Τῷ [6] Κλεοτίμου σκυτεῖ, κοιλίης ὑγρανθείσης πουλὺν χρόνον, καὶ θέρμης [7] γινομένης, καθ' ἧπαρ ἔπαρμα φυματῶδες ἐς ὑπογάστριον κατέβη· καὶ κοιλίη ὑγραίνετο· καὶ ἕτερον αὐτῷ καθ' ἧπαρ ἄνω πρὸς ὑποχόνδριον [8] φῦμα· ἐτελεύτησεν.

56. Οἷσι [9] κεφαλῆς ὀδύνη δεινὴ ξὺν θέρμῃ, οἷσι μὲν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς, καὶ κατὰ ῥῖνάς τι ὑγρὸν [10] ἀποχωρέει λεπτὸν ἢ πέπον, ἢ ἐς ὦτα, [11] ἢ ἐς· φάρυγγα ἐκ κεφαλῆς, ἀσφαλέστερον· οἷσι δὲ ξηρὰ ταῦτα, ὁ δὲ σφάκελος δεινὸς, ἐπικίνδυνα· ἢν δὲ προσῇ ἀσώδης, ἢ χολώδης ἔμετος, ἢ κατάπληξις ὀμμάτων, ἢ [12] ἀφωνίη, καὶ σπάνιόν τι φθέγγηται, ἢ λῇρός τις, θανάσιμα καὶ σπασμώδεα. Ὁπόσοι δ' ἂν ἐκ κατάῤῥου τὸ ἥμισυ τῆς κεφαλῆς πονέοντες, καὶ κατὰ [13] ῥῖνας ὑγροῦ ὑποχωρέοντος, ἐπιπυρετήνωσιν, ἐπιεικῶς ἐν τῇ [14] πέμπτῃ ἢ ἕκτῃ περιψύχονται.

57. Ἐγκεκράτει τῷ τυφλῷ, κεφαλῆς ὀδύνη δεινὴ, μᾶλλον [15] ἐς τοὔπισθεν, καὶ τραχήλου, [16] ὅπου ἡ πρόσφυσις, καὶ ἐς κορυφὴν ἐχώ-

[1] Τὸ H. – τω DFIJ. – τὰ vulg. – τὸν C. – τῶν K. – ὄρχιες δὲ DFGIJK, Ald. — [2] ἡγητορίδεω DFGHIJK. – ἀπέθανε vulg. – ὅτε D. – Je pense qu'il faut lire ἀπέβη au lieu de ἀπέθανε. — [3] ἵππειος sine ἡ C. – ἱππείου K. – ἀδελφεὴ CDH. – ἀδελφέη vulg. – ἀμύσσουσα C. — [4] [καὶ] ἕκτῃ Lind. – κωμματώδης C. – περὶ ἑβδομὴν C. – ἑβδομαῖα vulg. – ἑβδομαίῃ Lind. – ἑβδομαία K. – ἑβδομαῖος D.—[5] ἴσανδρος D. – ὀσάνδιος C. – ὄσανδρος HIJK. – ὀδύνη om., reponit post μηρὸν C.—[6] κλεοτίμου DHIJK, Ald. – κλεωτίμου CF. – Κλεοτίμῳ vulg. – σκύτει DIK, Ald., Frob. — [7] γιν. GHK. – φυσῶδες H. — [8] φύμα FK. — [9] κεφαλὴ D. – ῥῖνας DIJK, Kühn. – ῥίνας vulg. — [10] ὑποχ. D. – λ. om. DFG (H, restit. supra lin.) IJK. — [11] ἢ om. C. – φάρυγγας Codd. – δυνὸς ἐπικίνδυνος C. – χολώδης CDH. – χυλώδης vulg. — [12] ἀφωνίη CH. – ἀφωνία vulg. – φθέγγηται H. – φθέγγεται vulg. — [13] ῥῖνας D, Kühn. – ῥίνας vulg.—[14] ε ἢ ς HK. — [15] ἐς D, Lind. – εἰς vulg. — [16] ἧ (sic) pro ὅ. C. – αἰεὶ Codd., Ald., Frob., Lind. – ἀεὶ vulg.

autant à l'enfant d'Hégétoridès, si ce n'est que vers la fin les vomissements avaient été plus fréquents.

53. (*Phrénitis, mort.*) La sœur d'Hippias, en hiver, prise de phrénitis, égarée, agissant avec ses mains, s'écorchait elle-même; le cinquième jour, le sixième, dans la nuit, perte de la voix, coma; elle gonflait, en respirant, les joues et les lèvres comme les personnes qui dorment; elle succomba vers le septième jour.

54. (*Maladie indéterminée.*) Asandre, après du frissonnement, eut une douleur du côté; souffrances dans les genoux et la cuisse; ayant mangé, il fut pris de délire; il succomba rapidement.

55. (*Abcès au foie à la suite d'une longue diarrhée.*) Le corroyeur de Cléotimus avait eu de la diarrhée pendant longtemps; de la chaleur survint, et il se forma au foie une tumeur phlegmoneuse qui descendait vers l'hypogastre; le ventre se relâcha; une autre tumeur se développa au foie en haut dans l'hypochondre; il mourut.

56. (*Fluxion dans la tête avec fièvre; remarquez que le passage parallèle,* Ép. v, 102, *est une observation particulière, transformée ici en remarque générale.*) De ceux qui ont une douleur de tête violente avec de la chaleur, les uns, si la douleur occupe seulement la moitié de la tête et s'il s'écoule quelque humeur ténue ou cuite, soit par les narines, soit par les oreilles, soit par la gorge, et venant de la tête, courent moins de danger; les autres, si ces parties restent sèches et que la douleur soit intense, sont en péril; s'y joint-il des nausées, ou un vomissement de bile, ou la stupeur dans les yeux, ou la perte de la voix, ou bien le malade ne parle-t-il que rarement, ou bien a-t-il quelque délire, c'est un cas très-funeste et annonçant le spasme. Un catarrhe sur la moitié de la tête causant de la douleur, et un liquide s'écoulant par les narines, s'il survient de la fièvre, la chaleur fébrile tombe assez complétement le cinquième ou le sixième jour (Ép. v, 102).

57. (*Exemple de l'affection indiquée dans le paragraphe*

ρει, προϊόντος δὲ καὶ ἐς οὖς ἀριστερόν· καὶ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπώδυνον· μυξώδεα αἰεὶ ἐχώρει ἐπιεικῶς ζυγκεκαυμένα· καὶ θέρμη παρηκολούθει λεπτή· καὶ ἀπόσιτος· τὴν ἡμέρην ῥάων, ἐς νύκτα δὲ [1] ὠδυνᾶτο. Ἐπεὶ δὲ τὸ κατὰ τὸ οὖς ἐῤῥάγη [2] πῦον, ἔληξε πάντα· ἐῤῥάγη δὲ περὶ χειμῶνα. [3] Ἦρά γε ἐν πᾶσι τοῖς ἐμπυήμασι καὶ τοῖσι περὶ ὀφθαλμὸν ἐς νύκτα οἱ πόνοι;

58. [4] Οἷσι βῆχες χειμῶνος, μάλιστα δὲ νότοισι, παχέα καὶ πουλλὰ χρεμπτομένοισι, πυρετοὶ ἐπιγίνονται, ἐπιεικῶς δὲ πεμπταῖοι παύονται· αἱ βῆχες δὲ περὶ [5] τὰς τεσσαράκοντα, οἷον Ἡγησιπόλει. Οἷσι θέρμαι [6] λεπταὶ ἔστιν ὅτε παυομένων, οὐχ ὅλον τὸ σῶμα, ἀλλ' ἢ περὶ αὐχένα καὶ ὑπὸ μασχάλας, [7] ἢ κεφαλὴν ἀφιδρώσαντες, παύονται.

59. [8] Χάρητι, χειμῶνος, ἐκ βηχίου ἐπιδημίου προσγενόμενος πυρετὸς ἐπέλαβεν ὀξύς· τὰ ἱμάτια [9] ἀπέβαλλεν· κῶμα μετὰ πόνου ἐγένετο· οὖρα ἐρυθρὰ, οἷον ὀρόβων πλύμα· ὑπόστασις εὐθὺς ἀπ' ἀρχῆς πολλὴ λευκὴ, ὕστερον δὲ καὶ ὑπέρυθρος. [10] Ἑβδόμῃ, ἀπὸ βαλάνου σμικρὰ ὑπῆλθεν· τὸ κῶμα κατεῖχεν ἄλυπον· νοτὶς ἐπὶ μετώπῳ· ὕπνος ἐς νύκτα, καὶ θέρμη [11] ἠπιωτέρη. Ὀγδόῃ, χυλὸν προσεδέξατο· [12] κωματώδης διετέλει μέχρις ἑνδεκάτης. Ταύτῃ δὲ καὶ ἡ θέρμη μάλιστα ἔληξεν· [13] ὑπῆν δὲ βὴξ, ἀπόχρεμψις διετέλει αἰεὶ πουλλὴ, ῥηϊδίως, πρῶτον γλίσχρη, λευκὴ, παχέη, ἐπεὶ δὲ ξυνεπεπαίνετο, ὁμοίη πυώδεσιν· οὖρα ἀπὸ [14] ἑνδεκάτης καθαρώτερα, ὑπόστασις τρηχείη. [15] Τρισ-

[1] Ὀδύνη C. – ἐπὶ pro ἐπεὶ FI. — [2] πύον Codd., Ald., Frob., Lind. — [3] ἤ ῥά γεε (sic) pro ἦρά γε ἐν H (ἠρράγεε DJ; ἠρράγεεν FGIK, Ald.; ἠρρᾶγεεν Frob.). — [4] οἷσι CDHIJK, Lind. – εἰσὶ vulg. – δ' ἐν νότ. C. – πουλλὰ D. – πολλὰ vulg. — [5] περὶ τὰς τεσσαράκοντα CHI (J sine τάς). – περὶ τεσσαρακοστὴν Lind – περὶ μ vulg. – ἡγησιπόλεϊ Ald., Frob. — [6] λεπταὶ CH. – πολλαὶ pro λ. vulg. (πουλλαὶ D). — [7] οἱ pro ἢ G. – ἀφιδρώσαντες CH. – ἀφιδρώοντες vulg. – ἀφιδρώωντες FIK. — [8] χάρητι CDJ. – Χάριτι vulg. — [9] ἀπέβαλεν C. – κῶμμα C. – ἐγίνετο· οὖρα C. – οὖρα ἐγένετο vulg. – πλύμα GIK, Ald., Frob., Kühn. – πλῦμα vulg. – ὑποστάσιες ..... πουλλαὶ λευκαὶ ..... ὑπέρυθραι D. – ἀπ' Codd., Ald., Frob. – ἀπὸ vulg. — [10] ξ H. – κῶμμα C. — [11] ἡπ. Codd., Ald., Frob. – ἡπιότης K. — [12] κομμ. C. – διετέλεσε D. – μέχρι CFH. – ἑνδεκάτην Ald. – ια G. — [13] ὑπῆν δὲ β. C. – ἐπὴν (ἐπεὶ K) δὲ (ἐπήνδε H) ἦν β. vulg. – αἰεὶ Codd., Ald., Lind. – ἀεὶ vulg. – πολλὴ C. – παχείη D. — [14] ια DFGHIK. — [15] ιγ H. – ἔσχετο vulg. – καλιφ. C. – καλλιφύτου L. – Galien dans son Gl. lit καλλίφυτον.

précédent.) Chez Échécratès l'aveugle, douleur violente dans la tête, surtout à la partie postérieure, et dans le cou à la jonction avec la tête; cette douleur s'étendait jusqu'au sommet, et plus tard elle gagna même l'oreille gauche; la moitié de la tête était douloureuse; il s'écoulait continuellement des matières muqueuses assez enflammées; une chaleur légère persistait; anorexie; le jour il était mieux, la nuit il souffrait. Le pus ayant fait éruption par l'oreille, tout se calma; il fit éruption en hiver. Est-ce que dans toutes les suppurations et dans celles de l'œil les douleurs sont pour la nuit? (Ép. v, 77.)

58. (*Bronchites avec fièvre, toux durant quarante jours;* Ép. v, 73; *notez encore que ce qui est ici remarque générale est observation particulière dans le passage parallèle*, Ép. v.) Ceux qui, toussant en hiver, surtout par le vent du midi, et expectorant des matières épaisses et abondantes, sont pris de fièvre, ceux-là en sont délivrés d'ordinaire le cinquième jour; quant à la toux, elle cesse vers le quarantième comme chez Hégésipolis. Ceux qui ont des chaleurs légères avec des intermissions par intervalle, en sont délivrés après une sueur, non du corps entier, mais soit du cou et des aisselles, soit de la tête.

59. (*Exemple de l'affection indiquée dans le paragraphe précédent.*) Charès, en hiver, ayant été atteint d'une toux épidémique, il s'y joignit de la fièvre, qui devint aiguë; il rejetait ses couvertures; coma pénible; urine rouge, comme de la lavure d'ers; sédiment dès le début abondant, blanc, et ensuite même un peu rouge. Le septième jour, un suppositoire amena un peu de matières; le coma persista, sans souffrance; moiteur au front; sommeil dans la nuit; chaleur plus modérée. Le huitième, il prit de la décoction d'orge filtrée; le coma persista jusqu'au onzième. Ce fut ce jour-là que la chaleur baissa particulièrement; mais il restait de la toux; l'expectoration demeurait toujours abondante quoique facile, d'abord visqueuse, blanche, épaisse, mais, après maturation, semblable à de la matière purulente; urine, à partir du onzième jour, plus pure,

καιδεκάτῃ, ἄλγημα ἐπὶ δεξιὰ μέχρι κενεῶνος ἐς ὑπογάστριον· οὖρον ἴσχετο· πόμα τὸ ἀπὸ τοῦ καλλιφύλλου ξυνήνεγκεν. Πεντεκαιδεκάτῃ, πάλιν τὸ ἄλγημα. [1] Ἑκκαιδεκάτῃ, ἐς νύκτα μᾶλλον τὸ ἄλγημα ὑποχονδρίου ἤρχετο ἐς κοιλίην· λινοζώστιος ὕδωρ [2] ὑπήγαγεν. Ἡ θέρμη ἐντὸς τῶν εἴκοσιν ἐμωλύνθη, καὶ ἀποχρέμψιες παρηκολούθουν παχέαι, ῥηϊδίως, ἐς τεσσαράκοντα.

60. Ὑποκαθαίρειν τὰς κοιλίας ἐν τοῖσι [3] νουσήμασιν, ἐπὴν πέπονα ᾖ ἢ πεμπταῖα, τὰς μὲν κάτω, ἐπὴν ἱδρυμένα ἴδῃς· σημεῖον, ἢν μὴ ἀσώδεες μηδὲ [4] καρηβαρικοὶ ἔωσι, καὶ ὅτε αἱ θέρμαι πρηΰταται, καὶ [5] ὅταν λήγωσι μετὰ τοὺς παροξυσμούς· τὰς δὲ ἄνω, ἐν τοῖσι [6] παροξυσμοῖσι, τότε γὰρ καὶ αὗται μετεωρίζονται, ἐπὴν ἀσώδεες καὶ βαρέες τὰ ἄνω ἔωσιν. Διὰ τοῦτο [7] δὲ μὴ ἐν ἀρχῇσι καθαίρειν, ὅτι ἀπὸ τοῦ αὐτομάτου ἐν τοῖσι χρόνοισι τούτοισιν, ἢ χρόνια ἐπικίνδυνα.

61. Ἐπὶ [8] ὠλεκράνου ἐκ τρώματος τρωθέντος, πῆχυς ἐπισφακελίσας πυοῦται· πεπαινομένου δὲ, γλίσχρος ἰχὼρ καὶ κολλώδης εκθλίβεται· ταχὺ προσίσταται, ὡς καὶ [9] Κλεογενείσκῳ καὶ Δημάρχῳ τῷ Ἀγλαοτέλεος· ὁμοίως δὲ καὶ πάνυ ἐκ τῶν αὐτῶν πῦον οὐδὲν, οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη· πυουμένου δὲ, τοῖσι πλείστοισι φρῖκαι καὶ πυρετοὶ ἐπιγίνονται.

62. [10] Ἀλκμᾶνι ἐκ νεφριτικῶν ἀνακομιζομένῳ, κάτω καὶ αἵματος ἀφαιρεθέντος, ἄνω καθ' ἧπαρ ἐστράφη· καὶ πρὸς καρδίην ἄλγος δεινόν· καὶ τὸ πνεῦμα ὑπὸ τοῦ πόνου κατείχετο· καὶ ἡ κοιλίη χαλεπῶς

[1] Ἑκκαιδεκάτῃ DJ, Lind. – ἑξκαιδεκάτῃ FIK. – ις vulg. – ἑκκ. ἐς ν. μ. τὸ ἄ. om., restit. in marg. C. – τὸ om. D. — [2] ἐπ. K. – εἴκοσιν CDJ, Lind. – κ vulg. – ἐμολύνθη Codd., Ald., Frob. – καὶ om. C. – παχέαι C. – παχεῖαι vulg. – τεσσαράκοντα CHIJ, Lind. – μ vulg. — [3] νουσ. Codd., Ald., Lind. – νοσ. vulg. – ἐπὰν D. – ἢ sine ἢ vulg. – ἢ sine ᾖ C. — [4] καρυβ. G, Ald., Frob. – ἐῶσι C. – πρηΰταται C. – πραΰταται vulg. — [5] ὅτ' ἂν C. – λήγωσι Lind. – ληρῶσι vulg. — [6] παροξυσμοῖσι K, Lind. – παροξυσμοῖς vulg. – ἀσώδεες καὶ καρηβαρικοὶ καὶ ἀλύοντες ἔωσιν Lind. ex Ep. v. – ἐῶσιν C. — [7] μὴ δὲ pro δὲ μὴ J. – χρονίοισι vulg. – τούτοισιν om. C. – ἢ CH. – ᾖ H. – χρονία CH. – ἐπικίνδυνος C. – Phrase fort obscure; j'ai changé χρονίοισι en χρόνοισι, avec une grande défiance toutefois. — [8] ὠλεκράνου Codd. – πυοῦται τε C. – γλίσχρως C. – [καὶ] ταχὺ Lind. — [9] καὶ ἐν Κλ. H – διμάρχῳ FG. – ἀγλαοτελέος FHJ. – πῦον Codd., Ald, Frob., Lind. – Αἰσχίλου Ald. – φρῖκαι C, Kühn. – φρίκαι vulg. — [10] ἀλκμάνι Ald., Frob. – φρενιτικῶν C. – ἰτράπη CH.

sédiment raboteux. Le treizième, douleur à droite, s'étendant au flanc jusqu'à l'hypogastre ; suppression de l'urine ; la tisane avec le calliphyllon (*adiantum capillus Veneris L.*) lui fit du bien. Le quinzième, réapparition de la douleur. Le seizième, dans la nuit, la douleur de l'hypochondre s'étendait davantage dans le ventre; il fut évacué avec l'eau de mercuriale. La chaleur fébrile se dissipa dans les vingt jours, et une expectoration épaisse, mais facile, persista jusqu'au quarantième.

60. (*De l'administration des évacuants.* Ép. v, 64.) Il faut purger les ventres dans les maladies, quand les humeurs sont cuites ou au cinquième jour : le ventre d'en bas, quand vous les voyez fixées ; le signe en est si les malades n'ont pas de nausées, ou de pesanteur de tête, et lorsque la chaleur est le plus modérée et lorsqu'elle tombe après le paroxysme ; le ventre d'en haut, dans les paroxysmes, car c'est alors qu'il y a soulèvement spontané, les malades ayant des nausées, et de la pesanteur dans les parties supérieures. Il ne faut pas évacuer dans le commencement parce qu'il se fait à cette époque des évacuations spontanées ; sinon, cela annonce durée et danger.

61. (*Des plaies de l'avant-bras.* Ép. v, 65.) L'olécrâne étant blessé par quelque accident, il y a sphacèle et suppuration à l'avant-bras ; la maturation étant faite, il s'en exprime un ichor visqueux et collant qui s'arrête bientôt, comme chez Cléogéniscus et Démarque, garçon d'Aglaotélès ; dans des cas tout à fait semblables il ne se forme pas de pus, ainsi il ne s'en forma pas chez l'enfant d'Eschyle ; la suppuration étant venue, il survient chez la plupart des frissonnements et des fièvres.

62. (*Affection du foie d'un caractère indéterminé.*) Aleman s'étant rétabli d'accidents néphrétiques, et du sang lui ayant été tiré dans les parties inférieures, il y eut transport en haut sur le foie ; douleur cardialgique violente ; la souffrance faisait retenir la respiration; le ventre ne rendait qu'à grand'peine des matières petites, semblables à des excréments de chèvre ; il n'y avait point de haut-le-cœur ; parfois il était pris de frisson, de

ὑπεχώρεε σμικρὰ [1] σπυραθώδεα· ἄση οὐκ ἐνῆν· ῥῖγος δ'ἔστιν ὅτε καὶ πυρετὸς ὑπελάμβανε, καὶ ἱδρὼς, καὶ ἔμετος· [2] καὶ ἐν τῷ ἀλγήματι [3] οὐ ξυνέφερεν ὑποκλύσαι θαλάσσῃ, ξυνήνεγκεν ἀπὸ πιτύρων. Ἡσίτησεν ἡμέρας [4] ἑπτὰ, μελίκρητον ἀκρητέστερον ἔπιε, μετὰ δὲ, χυλὸν φακοῦ, ὁτὲ δὲ λεπτὸν τὸ ἔτνος, [5] ἐπέπινεν ὕδωρ, μετὰ δὲ, σκυλακίου ἑφθοῦ, μάζης μικρὸν ὅτι μάλιστα [6] πάλαι ξυγκειμένης· προϊόντος δὲ, ἢ βόεια τραχήλια, ἢ κωλῆνας ὑείων κρεῶν ἑφθῶν. Τῇ [7] προτεραίῃ, ὑδροποσίῃ, ἡσυχίῃ, σκέπῃ· πρὸς [8] τὸ νεφριτικὸν, ἐκ τῆς σικύης κλυσμός.

63. Τῷ Παρμενίσκου παιδὶ, κώφωσις· ξυνήνεγκε μὴ κλύζειν, [9] διακαθαίρειν δὲ εἰρίῳ· μοῦνον δὲ ἐγχέειν ἔλαιον ἢ νέτωπον· περιπατεῖν, ἐγείρεσθαι πρωΐ, οἶνον πίνειν λευκὸν, [10] λαχάνων ἀπέχεσθαι, ἄρτῳ τρέφεσθαι, ἰχθύσι πετραίοισιν.

64. Τῇ Ἀσπασίου ὀδόντος δεινὸν ἄλγημα καὶ γνάθου· καστόριον καὶ πέπερι διακλυζομένη, καὶ κατέχουσα ἐν τῷ στόματι, ἀνῆκε, καὶ στραγγουρικὸν αὐτῇ ἀνῆκε [11] προσθεμένη τὸ ἄλευρον τὸ ξὺν τῷ ῥοδίνῳ. [12] Τὰς ἀφ' ὑστερέων κεφαλαλγίας καστόριον παύει. Τὰ πλεῖστα τῶν [13] ὑστερικῶν, αἱ φῦσαι· σημεῖον, οἱ ἐρευγμοὶ, καὶ οἱ περὶ γαστέρα ψόφοι, καὶ ἐπάρματα ὀσφύος, καὶ περὶ νεφροὺς ἀλγήματα καὶ ἰσχία· καὶ ἐκγεγλευκισμένος μέλας· ἢ ἀρωμάτων τρίτον μέρος, ἀλεύρου δύο, ἐν οἴνῳ εὐώδει [14] ἑψῆσαι λευκῷ, ἐπ' ὀθόνιον ἐπι-

[1] Σπιθαρώδεα C. – *ῥῖγος* DI, Kühn. – *ῥίγος* vulg. – *δὲ* FHJK. — [2] *καὶ* om. C. — [3] *οὐχυπέφερεν* (sic) D. — [4] *ζ* HK. – *ἔπιε* om. C. – *χυλὸς φακῶν* C. – *ὁτὲ* Lind. – *ὅτε* vulg. – *ἔθνος* CFGHI. — [5] *ἐπέπινεν* Codd. – *ἐπέπινεν, ἐπέπινεν* K. – *ἐπέπιεν* vulg. – [*καὶ*] *μάζης* Lind. — [6] *π.* om. K. – *τραχήλεια* DG. – *κολλῆνας* C. – *ὑείων κρεῶν* C. – *ὑὸς* (*ὑοῦ* DHJK ; *υἱοῦ* FGI) *ἀκρέων* vulg. — [7] *πρωτ.* C. – *προτέρῃ*, emend. al. manu D. – *ὑδρωποσίῃ* DFG, Ald., Frob. — [8] *π.* [*δὲ*] *τὸ* Lind. – *τὸν* CDHIJK. — [9] *διακαθαίρω* vulg., par une faute d'impression répétée dans Kühn. – *δὲ* om. C. – *ἐγχέειν* H. – *ἐγχεῖν* C. – *ἐκχέειν* vulg. – *ἢ μέτωπον* C. — [10] *λόχων* (sic) DFGIJK, Ald., Frob. – *ἄρτον, ἰχθῦς πετραίους* sine *τρέφ.* C. – *ἰχθύσι* DJK, Kühn. – *ἰχθῦσι* vulg. – *πετραίοισιν* HK. – *πετραίοις* vulg. — [11] *προσθεμένη* K. – *προσθερμαίνει* vulg. – *προσθερμαίνειν* Lind. – Voy., Ép. iv, 30, *προσθεμένη εὐῶδες ἐξ ἀλήτου καὶ μύρου.* — [12] *τὰς* ..... *παύει* ponit post *ἰσχία* Lind. – Cette correction de Lind. est ingénieuse; cependant, à la rigueur, on peut s'en passer, en sous-entendant, comme Foes, un mot tel que *ὠφελέει* devant *καὶ ἐκγεγλ. κτλ.* — [13] Post *ὑστ.* addunt *ποιέουσι* L, Lind. – *φῦσαι* H, Kühn. – *φύσαι* vulg. – *ὀσφῦος* FI, Ald., Frob. – *ἐκγεγλευκισμένος* Frob., Kühn. – *ἐγκεγλευκισμένος* vulg. – *ἐκλελευκισμένος* CG. – *ἐκλελευγυσμένος* Ald. – *ἐκλευ-*

fièvre, de sueur et de vomissements ; dans la douleur il ne lui était pas avantageux de nettoyer le ventre avec l'eau de mer, mais il l'était de le nettoyer avec l'eau de son. Il garda l'abstinence pendant sept jours; il but de l'hydromel pur, puis de la décoction de lentilles, parfois une légère purée ; il prenait de l'eau par-dessus ; puis il mangea du jeune chien bouilli, un peu de polenta pétrie depuis aussi longtemps qu'il était possible ; plus tard encore, ou des morceaux de cou de bœuf, ou de la viande de porc bouillie appartenant au jambon. La veille, eau pour boisson, se tenir en repos et à couvert ; pour l'affection néphrétique, le lavement d'eau de concombre.

63. (*Surdité.* Ép. v, 66.) Chez le garçon de Parméniscus, surdité ; il convenait de ne pas faire d'injection, de nettoyer avec de la laine, et d'instiller seulement de l'huile d'olive ou de l'huile d'amandes amères, de se promener, de s'éveiller matin, de boire du vin blanc, de s'abstenir de légumes verts, de se nourrir de pain et de poisson de rocher.

64. (*Douleur de dent ; collutoire ; soulagement ;* Ép, v, 67. *Emploi de substances aromatiques dans les affections de l'utérus ; de la céphalalgie qui tient à l'utérus ; de la pneumatose qui se développe dans ces affections.*) A la femme d'Aspasius, douleur violente d'une dent et de la mâchoire ; ayant usé d'un collutoire composé de castoréum et de poivre, qu'elle gardait dans la bouche, elle fut soulagée. Elle fut soulagée aussi d'une affection strangurique à l'aide d'un pessaire composé avec de la farine et de l'huile de roses. Le castoréum fait cesser les céphalalgies provenant de la matrice (Ép. v, 12 ; Ép. vi, 1, 1). Dans la plupart des affections de l'utérus, flatuosités ; signe, les éructations, les bruits dans le ventre, les gonflements des lombes, les douleurs autour des reins et des hanches (Ép. iv,

κισμένος FHIJK. – ἐκλελευκασμένος (D, mut. al. manu in ἐγκεγλευκισμένος) L. – ἐκγλευκισμένος Gal. Gl. — [14] ἑψήσας K. – ἐπιχέαντα H. – ἐπιχέοντα vulg. – ἐπαλείφοντα C. – Post ἐπαλ. addit τῷ ὀθονίῳ vulg. – τῷ ὀθ. om. C. – ἢ om. C. – ἢ K.

γέαντα, ἐπαλείψαντα, καταπλάσσειν, ἢ ἐπὶ τῆς γαστρὸς ἀλγήματα ὑστερικά.

65. Τῷ Καλλιμέδοντος ξυνήνεγκε πρὸς τὸ [1] φῦμα τὸ ἐν τῷ τραχήλῳ, σκληρὸν ἐὸν καὶ μέγα καὶ ἄπεπτον καὶ ἐπώδυνον, καὶ ἀπόσχασις βραχίονος, [2] λίνου σπόρῳ καταπλάσσειν πεφρυγμένῳ· οἴνῳ λευκῷ καὶ ἐλαίῳ δεύοντα ἐπιδεῖν μὴ θερμὸν [3] μηδ' ἐφθὸν ἄγαν, ἢ ξὺν μελικρήτῳ ἑψεῖν ἄλευρον τήλιος, ἢ κριθῶν, ἢ πυρῶν.

66. [4] Μελησάνδρῳ τοῦ οὔλου ἐπιβαλόντος, καὶ ὄντος ἐπωδύνου, καὶ σφόδρα οἰδέοντος, ἀπόσχασις βραχίονος, στυπτηρίη Αἰγυπτίη, ἐν ἀκμῇ παραστέλλειν.

67. [5] Εὐτυχίδει ἐκ χολερικῶν ἐπὶ τὰ τῶν σκελέων τετανώδεα ἔληξεν· ἅμα τῇ κάτω ὑποχωρήσει κατακορέα χολὴν [6] πολλὴν ἤμει ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας, σφόδρα ὑπέρυθρον· ὑπὸ δὲ τὸν ἔμετον ἔπινε, καὶ ἀκρατὴς ἦν [7] καὶ ἀσώδης, οὐδὲν κατέχειν [8] ἠδύνατο οὐδὲ τὸ ἐκ τῶν στεΐων· καὶ οὔρου σχέσις καὶ τῆς κάτω διόδου· διὰ τοὺς ἐμέτους τρὺξ μαλθακὴ ἦλθε, καὶ κατέῤῥηξε κάτω.

67 *bis*. [9] Ὑδρωπιώδεα ταλαιπωρέειν, ἰδροῦν, ἄρτον ἐσθίειν, πίνειν μὴ πουλὺ, λούεσθαι κατὰ κεφαλῆς πολλῷ, [10] μὴ θερμῷ, ἀλλὰ χλιηρῷ· ὁ οἶνος λευκός· ὕπνῳ μὴ πολλῷ χρῆσθαι.

68. Καλλιγένει, περὶ [11] πέντε καὶ εἴκοσιν ἔτεα γεγενημένῳ, κατάῤῥοος· [12] ἡ βὴξ πολλή· ἀνῆγε τὸ καταῤῥέον ὑπὸ βίης· οὐδὲν [13] κάτω· ἔτεα τέσσαρα διετέλεσεν· θέρμαι λεπταὶ ἐν ἀρχῇ [14] ἐγένοντο. Ἐλλέβορος οὐκ ὠφέλησεν, ἀλλὰ ὀλιγοσιτίη, ἀλλὰ τὸ [15] συμπιασθῆναι·

[1] Φύμα FIK, Ald., Frob. – φ. om. G. – τὸ CDIK. – τὸ om. vulg. — [2] λίνου (sine σπ.) κατ. πεφρυγμένον C. – λ. σπέρμα κ. πεφρυγμένον ἐν οἴνῳ Lind. — [3] μηδὲ C. – τείλικος C. – τήλειος FIJK. – In marg. ἀκατάλιπτον (sic) I. – πυρρῶν G. — [4] Μελισάνδρῳ vulg. – ὅλου C. – καὶ ὄντος om. C. – παραστέλλει K. — [5] εὐτυχίδη CJ. – ἐπὶ τὰ Lind. – ἔπειτα vulg. — [6] π. om. D. – νύκτας Codd., Lind. – νύκτα vulg. — [7] καὶ om. DFGIJK. — [8] ἐδ. FIJK. – σιδέων K. – κατέρρηξε HK. – κατέρηξε vulg. – κατέρυξε CDFGIJ, Ald. – κατέῤῥιψε Lind. — [9] ἰκτεριώδη C. – ἰκτερώδη DFGHIJK, Ald., Frob. – πουλὺ Codd, Lind. – πολὺ vulg. – λοῦσθαι C. — [10] μὴ Codd., Lind. – καὶ pro μὴ vulg. – χλιερῷ C. – ὁ om. C. — [11] ε καὶ κ K. – γενομένω C. – κατάρροος Codd. – κατάῤῥους vulg. — [12] ἡ C. – ἀνήγετο pro ἀ. τὸ C. — [13] Post κ. addit ὑπέμενεν vulg. – ὑπ. om., restit. al. manu in marg. C. – ὑπ. om., restit. al. manu C. – δ K. – διετέλεσσεν C. — [14] ἐγένετο Ald, Frob. — [15] Les traducteurs font venir συμπιασθῆναι de συμπιάζω, forme dorienne pour συμπιέζω, et le rendent par corpus macerare. Il me paraît impossible d'admettre ici une forme dorienne qui serait sans autre exemple dans les œuvres hippocratiques ; en conséquence je le fais venir de συμπιαίνω.

30, p. 175). Du vin noir qui sort de l'état de moût, ou un tiers d'aromates avec deux parties de farine qu'on fait cuire dans un vin blanc odorant : on verse cette préparation sur un linge, on l'y étend, et on l'applique en cataplasme sur la partie du ventre où sont les souffrances hystériques.

65. (*Tumeur au cou, cataplasme, guérison.* Ép. v, 68.) Chez le fils de Callimédon, pour une tumeur située au cou, dure, grosse, crue et douloureuse, il fut avantageux de saigner au bras, d'appliquer un cataplasme de graine de lin grillée et humectée avec du vin blanc et de l'huile, et de ne l'appliquer ni trop chaude, ni trop cuite, ou de faire cuire, avec de l'hydromel, de la farine de fenugrec ou d'orge ou de froment.

66. (*Gencives tuméfiées, saignée.* Ép. v, 69.) Chez Mélésandre, la gencive étant envahie, douloureuse et se tuméfiant beaucoup, saignée du bras ; alun d'Égypte; réprimer au début.

67. (*Choléra.* Ép. v, 79.) Eutychidès eut une affection cholérique qui se termina en accidents tétaniques sur les jambes ; en même temps qu'il alla par le bas, il vomit pendant trois jours et trois nuits beaucoup de bile foncée et très-rougeâtre ; au moment du vomissement il buvait ; il était faible, avait des haut-le-cœur et ne pouvait rien garder, pas même l'eau de grenade ; suppression de l'urine et de l'évacuation alvine ; par le vomissement il rendit une lie molle, et elle fit éruption par le bas.

67 bis. (*Traitement de l'hydropisie.* Ép. v, 70.) L'hydropique doit se fatiguer, suer, manger du pain, ne pas boire beaucoup, se laver la tête avec beaucoup d'eau, non chaude, mais tiède ; vin blanc ; ne pas dormir beaucoup.

68. (*Bronchite chronique.*) Chez Calligène, âgé d'environ vingt-cinq ans, catarrhe ; la toux était fréquente ; il n'expectorait qu'à grand'peine ; rien par le bas ; cela dura quatre ans ; au début il avait de légères chaleurs fébriles. L'hellébore ne lui fit pas de bien ; ce qui lui en fit, ce fut de peu manger et d'arranger son régime pour engraisser ; manger du pain ; boire du vin rouge ; viandes cuites, celles qu'il voudrait, s'abstenir

ἐσθίειν ἄρτον· [1] οἶνον μέλανα· ὄψα, ὁποῖα ἐθέλοι· ἀπέχεσθαι δριμέων, ἁλυκῶν, λιπαρῶν, ὁποῦ σιλφίου, λαχάνων ὠμῶν· περιπατεῖν [2] πουλλά· γαλακτοποσίη οὐ ξυνήνεγκεν, ἀλλὰ σήσαμον πίνειν, καθαρὸν, ὠμὸν, ὅσον ὀξύβαφον, σὺν οἴνῳ μαλθακῷ.

69. [3] Τιμοχάρει, χειμῶνος, κατάῤῥους, μάλιστα ἐς τὰς ῥῖνας· ἀφροδισιάσαντι, ἐξηράνθη πάντα· κόπος, θέρμη ἐπεγένετο· κεφαλὴ βαρέη· ἱδρὼς ἀπὸ κεφαλῆς πουλύς· κατέῤῥει δὲ καὶ κατὰ τοῦ σώματος ὅλου· ἦν δὲ καὶ ὑγιαίνων ἱδρώδης· τριταῖος ὑγιάνθη.

70. Ὁ [4] τοῦ Κλεομένεος παῖς, χειμῶνος ἀρξάμενος, ἀπόσιτος, ἄνευ πυρετοῦ [5] ἐτρύχετο, καὶ ἤμει τὰ σιτία καὶ φλέγμα, μῆνας δὲ δύο ἡ ἀσιτίη παρηκολούθησεν.

71. Τῷ μαγείρῳ ἐν Ἀκάνθῳ τὸ [6] κώφωμα ἐκ φρενίτιδος ἐγένετο· φαρμακοποσίη οὐδεμίη ξυνήνεγκεν· οἶνος μέλας, καὶ ἀρτοσιτίη, καὶ λουτρῶν ἀπέχεσθαι, [7] χρίεσθαί τε καὶ ἀνατρίβεσθαι [8] χριόμενον, μὴ σφόδρα θάλπειν, μὴ πολλῷ πυρὶ, ἀλλ' ἠπίῳ.

72. Οἷσι ῥεύματα [9] ἐν ὀφθαλμοῖσι λεπτὰ καὶ χρόνια, ἢν πέπονα κατὰ ῥῖνας χωρήσῃ, ὠφελέονται.

73. [10] Ἧσιν ἐν κυήμασιν ἐκ πτώματος ἢ σπάσματος ἢ πληγῆς πόνοι, ἐπιεικῶς ἐν τῇσι τρίτῃσι δηλοῖ, εἰ διαφθείρει.

74. [11] Τῇ Σίμου τὸ τριηκοσταῖον ἀπόφθαρμα πιούσῃ [12] τι ἢ αὐτόματον· ξυνέβη πόνος, ἔμετος χολωδέων πολλῶν, ὠχρῶν, πρασοειδέων, μελάνων, ὅτε πίοι. Τριταίῃ, σπασμός· τὴν γλῶσσαν κατεμασσᾶτο. Πρὸς [13] τεταρταίην εἰσῆλθον· ἡ γλῶσσα μέλαινα, μεγάλη· τῶν ὀφθαλμῶν τὰ λευκὰ, ἐρυθρά· ἄγρυπνος· τεταρταίῃ ἀπέθανεν ἐς νύκτα.

[1] Οἶνος μέλας C. — [2] πολλὰ C. — [3] τιμοχάριι (sic) C. – Τιμοχάριτι vulg. – τιμοχάρητι J. – αἱμοχάριτι G. – ῥῖνας CD, Kühn. – ῥίνας vulg. – ἐξηράθη FG. — [4] τοῦ om. C. — [5] ἐτρήχετο CK. – σιτῖα H. – δύο μῆνας sine δὲ C. – δύο μῆνας δὲ DFGHIJK. — [6] κώφωμα Lind. – κύφωμα vulg. – ἐπεγένετο Q'. – οὐδεμίη CD. – οὐδεμία vulg. – ἀρτοσιτίη Codd., Ald., Frob. – ἀποσιτίη vulg. — [7] χρ. om. FGIJ. – χρ. τε om. DK. — [8] χρ. om. C. – χρεόμενον IK. – ἠπίῳ DFGHIJK, Ald., Frob. — [9] ἐς ὀφθαλμοὺς C. – ὀφθαλμοῖσι K, Lind. – ὀφθαλμοῖς vulg. – ῥίνας CFG, Ald., Frob. — [10] οἷσιν, in marg. al. manu ἧσιν C. — [11] τῇ C. – τῆς vulg. – σίμου C. – τησίμου vulg. – τισίμου DFGHIJK, Ald. — [12] τι vulg. – τῇ C. – τι ou τῇ me paraissent une faute de copiste pour τι ἤ. – πρασοειδέων, μελανῶν C. – ὅτε πίοι C. – ὅτ' ἔπιε vulg. – ὅτ' ἔπιθι (sic) FGHIJK. – κατεμασᾶτο HIK. — [13] τεταρταίην Codd., Ald., Frob. – τεταρταῖον vulg. – εἰσῆλθεν DFGHIJK.

des substances âcres, salées, grasses, du suc de silphion, d'herbages crus; se promener beaucoup; il ne se trouva pas bien de boire du lait, mais il lui fut avantageux d'avaler du sésame nettoyé, cru, à la dose d'un oxybaphe (0 litre, 067), avec du vin doux.

69. (*Suppression d'un catarrhe habituel; fièvre; sueur; guérison.* Ép. v, 72.) Timocharès, en hiver, avait un catarrhe, surtout dans les narines; le coït sécha tout cela; lassitude; il survint de la chaleur; tête pesante; sueur abondante de la tête, qui s'étendit aussi à tout le corps; il transpirait beaucoup, même en santé; le troisième jour, guérison.

70. (*Dépérissement sans fièvre.* Ép. v, 51.) Le garçon de Cléomène commença à être malade en hiver; anorexie; il dépérissait sans fièvre, il vomissait les aliments et de la pituite, l'anorexie dura deux mois.

71. (*Surdité.* Ép. v, 52.) Le cuisinier, à Acanthos, devint sourd à la suite d'une phrénitis; aucune purgation ne lui était avantageuse; boire du vin rouge, manger du pain, s'abstenir de bains, faire des onctions et en même temps des frictions, et user pour cela, non d'un grand feu, mais d'un feu doux.

72. (*Fluxions des yeux.*) Ceux qui ont une fluxion ténue et chronique aux yeux sont soulagés quand des matières cuites s'écoulent par les narines.

73. (*Sur les avortements.*) Quand des femmes grosses éprouvent de la douleur à la suite d'une chute, d'un effort, d'un coup, les trois jours qui suivent montrent d'ordinaire si elles doivent avorter.

74. (*Avortement; inflammation intérieure; mort.* Ép. v, 53.) La femme de Simus, avortement au trentième jour, à la suite de quelque abortif en breuvage ou spontanément; il survint de la douleur; vomissements de matières bilieuses, abondantes, jaunes, porracées, noires, quand elle buvait. Le troisième jour, spasmes; elle se mordait la langue. Je la visitai au quatrième jour; langue noire, grosse, le blanc des yeux rouge; insomnie; elle mourut le quatrième jour dans la nuit.

75. Πυθοκλῆς [1] τοῖσι κάμνουσιν ὕδωρ, γάλα πολλῷ τῷ ὕδατι μιγνὺς, ἐδίδου καὶ ἀνέτρεφεν.

76. [2] Χειμέτλων, κατασχᾶν, ἀλεαίνειν τοὺς πόδας, ὡς μάλιστα [3] ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. Ὀφθαλμοῖσι πονηρὸν, φακή· τοῖσί γε οὕτως ἔχουσιν, ἡ γλυκέη ὀπώρη, καὶ λάχανα. Τοῖσι [4] περὶ ὀσφὺν ἢ ἰσχίον ἢ σκέλεα ἀλγήμασιν ἐκ πόνων, θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονῆν, καὶ σπόγγους βάπτοντα πυριῆν, ἐπικαταδεῖν [5] δὲ εἰρίοισιν· Ὀρίγανος ὀφθαλμιῶσι κακὸν πινομένη καὶ [6] ὀδοῦσιν.

77. Ἡ ἀπὸ τοῦ [7] κρημνοῦ κόρη πεσοῦσα, ἄφωνος· ῥιπτασμὸς αὐτὴν εἶχεν· ἤμεσεν ἐς νύκτα· αἷμα συχνὸν ἐρρύη, κατὰ τὸ οὖς τὸ ἀριστερὸν πεσούσης· [8] καὶ μελίκρητον χαλεπῶς κατέπινεν· βέγχος εἶχε· πνεῦμα πυκνὸν, ὥσπερ τῶν ἀποθνησκόντων, φλέβες αἱ περὶ τὸ μέτωπον τεταμέναι, [9] κλίσις ὑπτίη, πόδες χλιηροί· πυρετὸς [10] πουλύς· ὁπότε ὀξύτατος, μάλιστα κατεπλήσσετο. [11] Ἑβδόμῃ, φωνὴν ἔῤῥηξεν· αἱ θέρμαι λεπτότεραι· περιεγενέτο.

78. [12] Ὀνισαντίδης τοῦ ὤμου τὸ ἄλγημα ἔσχεν ἐν θέρει γενόμενον ἐξ ἀποστάσιος· [13] ἐν τῇ θαλάσσῃ βρέχειν τὸ σῶμα καὶ τὸν ὦμον ὡς πλεῖστον χρόνον ἐπὶ τρεῖς ἡμέρας· οἶνον λευκὸν ὑδαρέα ἅμα πίνειν ἐν τῇ θαλάσσῃ κατακείμενον, καὶ οὐρέειν ἐν τῇ θαλάσσῃ.

79. Ὁ γναφεὺς ὁ ἐν Σύρῳ, ὁ φρενιτικός· μετὰ δὲ καύσιος τρομώδης· σκελέων τὸ χρῶμα, οἷον ὑπὸ κωνώπων [14] ἐν καταδήγμασιν·

[1] Τοῖς C. – [ἡ] γάλα Lind. – ἀνέτρεφον C. – ἀνέτρεφαν (sic) HI. – ἐνέτρεφε FG, Ald. — [2] χιμέτλων C. – χυμέτλων DFGHIJK, Ald. – ἐλεαίνειν C. — [3] ἐνθ. DFGIK. – ἡ φακὴ L. – κακὴ pro φ. DFGHIJK, Ald., Frob. – τοῖσί γε ο. ἔ. ἡ om. C. – ὀπ. γλ. C. – γλυκείη K. — [4] ὀσφὺν D, Lind. – ὀσφῦν vulg. – ἰσχύον, sine ὀσφὺν ἢ, sine ἢ σκέλεα, in marg. ἢ σκέλεα ἢ ἰσχίον C. – καταιονεῖν CD. – καταιονᾶν vulg. – σπόγγοις βλάπτοντα C – σφόγγους FGIJ, Ald., Frob. — [5] εἰθίοισιν ὑσυροῖσι ῥίνας (sic) C. – Ces mots estropiés sont pour εἰρίοισιν οἰσυπηροῖσιν ἢ ῥηνικοῖσιν. – ὀφθαλμοῖσι C (H, in marg.). — [6] οἰδοῦσιν I. — [7] κνίμου (sic) DK. – κνίμνου FGIJ, Ald. – παισοῦσα C. – αὐτὴν om. C. – αἷμα πουλὺ, κ. τὸ οὖς τὸ ἀ. π. αἷμα συχνὸν ἐρρύη C. — [8] καὶ om. C. – ῥέγκος CDJK. – εἶχε om. C. — [9] κλῆις (al. manu κλίσις C) HIK. – κλιὴς FJ. – κλεῖς, al. manu κλίσις D. — [10] πουλὺς, ὁπότε ὀξύτατος C. – πολὺς (βληχρὸς pro π. L), ποτὲ (π. π. om. DFGHIK) ὀξὺς vulg. — [11] ξ H. – λεπτ. εἶχον, περιεγένοντο C. – περιεγένοντο G. — [12] ὀνισ. Ald. – ὁ Νισαντίδης Lind. – γενόμενος Frob. — [13] [ξυνήνεγκεν] ἐν Lind. — [14] ἐγκαταδαμάσειν vulg. – ἔγκατα δαμάσειν I. – ἐγκαταδαμάσσειν D. – ἐνκαταδάγμασιν C. – ἐγκαταδήγμασιν H. – ἐγκαταδαμασθὲν Lind. – Ceci est une conjecture suggérée par Cornarius, et approuvée par Weigel dans le Suppl. de Schneider; elle me

75. (*Le médecin Pythoclès.* Ép. v, 56.) Pythoclès donnait de l'eau aux malades, mêlant du lait à beaucoup d'eau, et il les nourrissait.

76. (*Des engelures.* Ép. v, 57. *Des yeux, des douleurs lombaires.* Ép. v, 58. *De l'origan.* Ép. v, 54.) Pour les engelures, scarifier, tenir chauds les pieds, les échauffer autant que possible avec du feu et de l'eau. Pour les yeux, les lentilles sont mauvaises; aux personnes qui souffrent de ces organes, donner les fruits doux, les légumes verts. Pour les douleurs des lombes, des hanches ou des jambes qui résultent de fatigues, faire des affusions chaudes avec l'eau de mer, le vinaigre; et, mouillant des éponges, faire des fomentations; maintenir ces éponges avec de la laine. L'origan en breuvage est mauvais pour les affections des yeux et pour les dents.

77. (*Chute, écoulement de sang; guérison.* Ép. v, 55.) La jeune fille qui fit une chute du haut du précipice perdit la voix; jactitation; elle vomit la nuit; du sang en abondance s'écoula, elle était tombée sur l'oreille gauche; elle avalait difficilement l'hydromel; râle; respiration fréquente, comme celle des mourants; veines du front tendues; décubitus sur le dos; pieds chauds; fièvre considérable; c'est quand la fièvre était le plus aiguë que l'accablement était le plus grand. Le septième jour, la voix se fit entendre (Ép. II, 6, 4), la chaleur devint moindre, elle guérit.

78. (*Douleur traitée par le bain de mer.*) Onisantidès avait une douleur de l'épaule survenue en été à la suite d'un dépôt. Baigner le corps et l'épaule dans la mer aussi longtemps que possible pendant trois jours; boire un vin blanc léger en étant couché dans la mer, et uriner dans la mer.

79. (*Phrénitis, guérison sans sueur.*) Le foulon à Syros atteint de phrénitis; grande inflammation, tremblement; la

paraît inutile. Il suffit de prendre la leçon de H en la séparant en deux mots. -Les traducteurs latins rapportent σκελέων à τραυμώδης; mais il faut le rapporter à χρῶμα, on le voit par Galien, qui cite cette phrase, Comm. Ép. II, 3, texte 5.

[1] ὀφθαλμὸς μέγας, βραχεῖα κίνησις· φωνὴ κεκλασμένη, σαφὴς δέ· οὖρον καθαρὸν, ὑπόστασιν οὐκ ἔχον· ἦρα [2] διὰ τὴν τῆς θαψίης ὑποχώρησιν; Ὀκτωκαιδεκαταῖος ἀνῆκε μολυνθεὶς ἄνευ ἱδρῶτος.

80. [3] Ὁ ἐν Ὀλύνθῳ Νικόξενος ὁμοίως· ἑβδομαῖος ἐδόκει χαλάσειν μεθ' ἱδρῶτος· ῥοφήματα προσεφέρετο, οἶνον, βότρυν ἐξ ἡλίου. Πρὸς ἑπτακαιδεκαταῖον εἰσῆλθον· καυστικός· [4] τοιοῦτον, ἡ γλῶσσα· θέρμη ἔξωθεν οὐ πάνυ ἰσχυρή· ἔκλυσις σώματος δεινή· φωνὴ κεκλασμένη, ἔργον ἀκοῦσαι, σαφὴς δέ· κρόταφοι [5] ξυμπεπτωκότες· ὀφθαλμοὶ κοῖλοι· πόδες μαλθακοὶ [6] καὶ γλιηροί· κατὰ σπλῆνα ξύνταση· τὸ κλύσμα οὐ πάνυ τι ἐδέχετο, ἀλλ' ἀνεπήδα· ἐς νύκτα ἐπῆλθε κόπρος ξυνεστηκυῖα ὀλίγη, καὶ αἵματός τι, οἷμαι ἀπὸ τοῦ κλυσμοῦ· οὖρον καθαρὸν, λαμπρόν· [7] κλίσις ὑπτίη, σκέλεα [8] διηνοιγμένα διὰ τὴν ἔκλυσιν· παράπαν ἀγρυπνος. Ἐντὸς τῶν [9] εἴκοσιν ἡ θέρμη ἐμολύνθη. Πρῶτον, ποτὸν τὸ ἀπὸ κρίμνου, ἄλλοτε ἀπὸ μήλων ὁμοῦ καὶ σίδης χυλὸς [10] καὶ ψακοῦ πεφωσμένου ψυχρός· καὶ ἀλεύρου πλύμα ἑφθὸν, ψυχρόν· λεπτὸν ῥύφημα· περιεγένετο.

81. Τῶν [11] κναφέων οἱ βουβῶνες ἐφυματοῦντο σκληροὶ καὶ ἀνώδυνοι περὶ ἥβην· ἐν τραχήλῳ ὅμοια μεγάλα· πυρετός· ἔμπροσθεν [12] δὲ καὶ βηχώδεες ἀπὸ ῥηγμάτων. [13] Τρίτῃ μὲν ἢ τετάρτῃ γαστὴρ ξυνετάκη, θέρμαι ἐπεγένοντο· γλῶσσα ξηρή· δίψα· ὑποχώρησις ἑκάστῳ χαλεπαί· ἀπέθανον.

82. [14] Τὰ χολερικὰ ἐκ κρεηφαγίης, μάλιστα δὲ [15] χοιρείων ἐνω-

[1] Ὁ παλμὸς μέγας Lind. — [2] διὰ om. C. – τὴν om. J. – ἐσχάρωσιν Lind. – Ceci est une conjecture de Foes, que lui a suggérée καύστιος rendu par cautérisation. καύστιος signifie *inflammation* (voy. plus bas καυστικός), et il ne faut pas toucher à ὑποχώρησιν. — [3] καὶ ὁ C. – ὀλίνθῳ DF. – χαλάσειν DFGHIJK. – χαλάσσειν vulg. – οἶνον, supra lin. al. manu οἶον D. — [4] τοιοῦτον C. – τοι. om. vulg. – ἡ γλ. αὖα Lind. – θέρμη Lind. – θερμὴ vulg. – σαφεῖς C. — [5] ξ. C, Lind. – σ. vulg. — [6] καὶ om. H. — [7] κλισίη Codd. — [8] διηνοιγμένα C. – διηνυγμένα DFGIJK, Ald. – διηνεγμένα H. – διαγνόμενα vulg. – ἔκκλυσιν F. — [9] κ K. – ἄποτον (ἀπὸ τῶν C) τὸ (τὸ om. C; τοῦ IK) ἀπὸ κριμνοῦ (κρίμνου D; κρήμνου H; χρημνοῦ K), ἀλλ' ὅ γε (ἄλλοτε CH) ἀπὸ μήλων (μηδῶν CFGIJK) vulg. – Je pense que ἄποτον, mot ici inintelligible, est pour α ποτὸν, α étant pour πρῶτον, ce qui se voit quelquefois. — [10] καὶ om. C. – πεφωγμένου C. – πεφωσμένος K. – πλῦμα DHJ. – πλῦγμα C. – περιεγένετο CH. – ἐπεγένετο vulg — [11] γλ. H. – φυματοῦντος C. – καὶ περὶ vulg. – καὶ om. C. – ἐν τραχήλῳ C. – καὶ τράχηλον pro ἐν τ. vulg. — [12] δέκα (δὲ pro δέκα Ald.; δέκα om. Lind.) vulg. – Je pense que δέκα est pour δὲ καί. — [13] τρίτῳ μηνὶ

couleur des jambes comme quand on a été mordu par les cousins ; l'œil grand, se mouvant peu ; voix brisée mais distincte ; urine pure, n'ayant point de dépôt ; est-ce à cause de la purgation par la thapsie (*thapsia garganica L.*)? Au dix-huitième jour, amendement ; le mal disparut sans sueur.

80. (*Phrénitis, guérison.*) Il en fut de même pour Nicoxène à Olynthe ; le septième jour, la fièvre parut se relâcher avec de la sueur ; il prit des décoctions d'orge, du vin, du raisin séché au soleil. J'allai le visiter le dix-septième jour ; grande inflammation ; langue enflammée aussi ; la chaleur au dehors, pas très-forte ; résolution extrême du corps ; voix brisée, qu'on entendait à peine, mais distincte ; tempes affaissées ; yeux enfoncés ; pieds souples et chauds ; tension du côté de la rate ; il ne recevait qu'à grand'peine les lavements ; le liquide rejaillissait ; à la nuit, petite selle de matières fécales, liées, avec un peu de sang que le clystère avait, je pense, amené ; urine pure, claire ; décubitus sur le dos ; jambes écartées à cause de la résolution ; insomnie complète. Dans les vingt jours la chaleur fébrile s'éteignit. D'abord il prit en boisson l'eau de farine, parfois du suc de pomme et de grenade, mêlé avec de l'eau de lentilles grillées, avalé froid ; de la lavure de farine prise cuite et froide ; une décoction d'orge légère ; il se rétablit.

81. (*Tumeurs dans les aines et au cou ; observation fort obscure.* Ép. v, 59.) Chez les foulons, des tumeurs dures et indolentes se développèrent dans les aines ; des tumeurs semblables et grosses vinrent au cou ; fièvre ; dès auparavant ils avaient de la toux, à la suite de ruptures (*V. Argument des Coaques*). Le troisième ou le quatrième jour, le ventre se fondit ; des chaleurs survinrent ; langue sèche, soif ; déjections fâcheuses ; ils moururent.

82. (*Causes du choléra.* Ép. v, 71.) Les accidents choléri-

ἡ τετάρτῳ vulg. – δεῖψα I. – ὑποχωρήσιες CDH. – ὑποχωρήσεις vulg. — [14] τὰ ἐξ ὧν τίκτεται ἡ χολέρα in marg. I (χολὴ J). — [15] χειρίω, in marg. χειρείων C. – ἐναιμοτέρων L, ex Ep. v. – ἐκ (ἐκ om. C ; ἐξ Lind. ; ἐν K) ἐρ. (ἐνερεθισθῶν sine ἐκ FGHIJ).

μοτέρων, καὶ ἐρεβίνθων, καὶ μέθης εὐώδεος παλαιοῦ, καὶ ἡλιώσιος, καὶ [1]σηπίης, καὶ καράβων τε καὶ ἀστακῶν, καὶ λαχανοφαγίης, μάλιστα δὲ πράσων καὶ κρομμύων, ἔτι δὲ θριδάκων ἑψῶν, καὶ κράμβης, καὶ λαπάθων ἐνωμοτέρων, καὶ ἀπὸ πεμμάτων, καὶ [2]μελιτωμάτων, καὶ ὀπώρης, καὶ σικύου πέπονος, [3]καὶ οἰνογάλακτος, καὶ ὀρόβων, καὶ ἀλφίτων νέων. Μᾶλλον ἐν θέρει τὰ χολερικὰ, καὶ [4]οἱ διαλείποντες πυρετοί. Καὶ οἷσι φρῖκαι ἐπιγίνονται, οὗτοι ἔστιν ὅτε κακοήθεις γίνονται, καὶ ἐς νοσήματα ὀξέα καθίστανται· ἀλλ' εὐλαβεῖσθαι χρή· μάλιστα δὲ [5]τὰ τοιαῦτα νοσήματα ἡ πέμπτη καὶ ἡ ἑβδόμη καὶ ἡ ἐνάτη δηλοῦσι, βέλτιον δὲ μέχρι τῶν [6]τεσσαρεσκαίδεκα φυλάσσεσθαι.

83. [7]Φερεκύδει μεθ' ἡλίου τροπὰς χειμερινὰς, τῆς νυκτὸς, πλευροῦ δεξιοῦ ἄλγημα, καὶ πρότερον εἰθισμένον, ἔληξεν· ἠρίστησεν· ἐξελθὼν, ἔφριξε· πυρετὸς ἐς νύκτα· ἀνώδυνος· βηχίον ῥέον τι [8]ξηρόν. Οὖρα [9]πουλλὰ, ὑπόστασις πουλλὴ, ξυσματώδεα μαδαρὰ διεσπασμένα ἀπ' ἀρχῆς, μετὰ δὲ [10]τέσσαρας θολερὰ ὑφίστατο, καὶ τὸ οὖρον οὐκ ἄχροον, ὑπόστασιν ἔχον, [11]καὶ τὸ σύστημα οὐκ ἐφαίνετο ἐν τῷ χερνιβίῳ, [12]ψύχρος ἐόντος. Τριταίῳ αὐτομάτη κοιλίη ὑπῆλθεν. Τετάρτῃ, [13]βαλάνου γεγονότος, [14]κοπρώδεα καὶ χολώδεα διεχώρησεν· ὑγρὸς περίῤῥοος. [15]Ὕπνος ἐς νύκτα οὐ πάνυ, [16]ἡμέρης δέ τι ἐκοιμᾶτο· δίψα οὐ σφοδρὴ, τεταρταίῳ μάλιστα ἐς νύκτα· δέρμα περὶ μέτωπον καὶ τὸ ἄλλο, μαλθακὸν, [16]ὑποφέρειν αἰεί· πυρετὸς [17]ἐκρατεῖτο πρὸς χεῖρα, καὶ ὑπενότιζεν, ἄδηλος· σφυγμὸς σφόδρα ἐν μετώπῳ φλεβῶν· βάρος

[1] Σηπείης FGI, Ald. – κρομύων C. — [2] μελιττ. CK. — [3] καὶ οἴνου καὶ γάλακτος C. – ὀρωθὸν Ald. – μᾶλλον [δὲ] ἐν Lind. — [4] ἐνδιαλείποντες pro οἱ δ. C. – φρῖκαι Kühn. – φρίκαι vulg. – χρὴ om. C. — [5] τὰ τ. νοσ. om. C. – νουσ. Lind. – ἡ ε καὶ ἡ (ἡ om. FGIJ) ζ καὶ ἡ θ DK. – ἐννάτη Lind. – κρινοῦσι Lind. – κρινοῦσι in futuro J. Martini notæ ap. Foes. — [6] ιδ DFGHIK. – φυλάσσεσθαι Codd. – φυλάττ. vulg. — [7] φερεκύδει HIK. – φερεκύδει F. – Φερεκύδη vulg. – κύδη C. — [8] τι οὐ ξ. K. — [9] οὐ π. vulg. – οὐ om. DFGJKL, Ald., Lind. – πουλλὰ D. – πολλὰ vulg. – πουλλὴ D. – πολλὴ vulg. – μακρὰ, supra lin. μαδαρὰ C. – διεσπαρμένα C. — [10] δὲ τὰς τ. C. — [11] καὶ σύναγμα ἐφαίνετο ἐν τῷ χερνίβῳ Gal. in cit. Comm. Ep. VI, 3, text. 15. — [12] ψύχεος ἐόντος C. – ψύξιος (ψύξεος K) ἐούσης (ἐόντος, D al. manu ἐούσης, FHIJ vulg. — [13] πρὸς βαλάνειον sine γεγ. C. – βαλάνου est ici masculin, contre l'usage habituel des livres hippocratiques. Il est vrai qu'on trouve quelques exemples de βάλανος fait masculin; voy. le Thesaurus. Peut-être faudrait-il prendre la leçon de C, en lisant βαλάνιον, *un petit suppositoire*

ques surviennent, quand on use de viande, et surtout de viande de porc à demi cuite, de pois chiches, quand on s'enivre de vin vieux odorant, qu'on s'expose au soleil, qu'on mange des sèches, des crabes et des homars, des légumes verts, surtout du poireau et de l'oignon, et encore des laitues cuites, des choux, de la patience à demi cuite, des gâteaux, des friandises au miel, des fruits, du melon, quand on boit de l'œnogala (*mélange de vin et de lait. Voy.* § 101), quand on se nourrit d'ers et de polenta fraîche. Les accidents cholériques surviennent de préférence en été ainsi que les fièvres intermittentes. Ceux qui ont des frissonnements sont parfois dans un mauvais état de santé (Coaq. 16 et 17; Ép. IV, 48) et tombent dans des maladies aiguës, mais il faut y prendre garde; c'est surtout dans ces maladies que le cinquième jour, le septième et le neuvième sont significatifs; il vaut mieux se tenir sur ses gardes jusqu'au quatorzième.

83. (*Fièvre.*) Chez Phérécyde, après le solstice d'hiver, dans la nuit, douleur dans le côté droit, douleur qu'il éprouvait habituellement; elle cessa; il déjeuna; étant sorti, il eut du frisson; fièvre la nuit; point de douleur; petite toux qui amène quelques matières sèches. L'urine était abondante, le dépôt abondant; il se déposa, dans le début, des râclures lisses et disséminées, mais, après quatre jours, des matières bourbeuses; l'urine qui donnait ce dépôt n'était pas de mauvaise couleur, et le sédiment n'apparaissait pas dans le vase, étant exposé au froid. Le troisième jour, le ventre s'ouvrit spontanément. Le quatrième, après un suppositoire, selles fécales et bilieuses avec des matières liquides tout autour. Il n'y avait guère de sommeil la nuit, mais il dormait un peu le jour; soif peu intense, surtout le quatrième jour dans la nuit; la peau autour du front et dans le reste du corps, souple

— [14] εὐκοπρώδεα (sic) sine καὶ χ. διεχ. C. — [15] ἡμέρη ὁ' ἔτι C. – τι om. K. — [16] ὑπερφέρειν FG, Ald., Frob. – ὑπερφερέειν (sic) D (H, mut. in ἐπεφερέειν) IK. – ἐπέφερεν C. – ὑπεφέρετο Lind. – Peut-être faudrait-il lire ἀνέφερεν: *Il avait la respiration toujours entrecoupée.* Voy. p. 408, n. 11. — [17] πρὸς χ. ἐκρ. C. – καὶ om. C.

ἐν τῇσιν [1] ἐπιστροφῇσι καὶ ἐν τῇσιν ὑποχωρήσεσι [2] πάσῃσιν ὀλίγον χρόνον· διὰ παντὸς ἀνώδυνος· ἀπ' ἀρχῆς ἀσώδης, καὶ κατὰ [3] σμικρὸν ἤμει. [4] Ἑβδόμῃ, παρὰ βαλάνου ὑπεχώρησε τρὶς, χολῶδες καὶ κοπρῶδες, ὑγρὸν σφόδρα [5] καὶ ὠχρόν· καὶ ἤδη τι ὑποπαρέκρουε, καὶ νοτὶς ἐπ' ὀλίγον ἔστιν ὅτε περὶ μέτωπον· τὸ ἱμάτιον ἐπὶ τὸ πρόσωπον· τὰ ὄμματα [6] διὰ κενῆς, ὡς εἴ τι βλέπων, ξυνέστρεφε, καὶ πάλιν κατέμυεν· [7] τὸ ἱμάτιον ἀπέβαλλεν. Ἐναταίῳ ἱδρὼς πρωὶ ἀρξάμενος μέχρι στήθεος διετέλει, ἕως ἐτελεύτησε, καὶ ὁ πυρετὸς ἐπέτεινε, καὶ ἡ παραλήρησις· περὶ μέτωπον πλεῖστος ἱδρὼς, καὶ οἷον δεινὸν [8] μὲν ἢ ἕκλευκον τὸ χρῶμα, τὸ δὲ ὑπὸ τὰς τρίχας ὡς ἐστιγμένον· ὑποχόνδριον δεξιὸν ἐπηρμένον· ὑφῆκεν [9] ὑφ' ἑωυτὸν χολῶδες. Ὀγδόῃ, ὡς ὑπὸ κωνώπων ἀναδήγματα. Πρὸ τῆς τελευτῆς [10] ἀνέβηξεν, οἷον ἐκ μύξης, μύκητα [11] ξυνεστηκότα, λευκῷ φλέγματι περιεχόμενον· [12] ἀπεχρέμπτετο δὲ καὶ ἔμπροσθεν σμικρὰ, λευκὰ, γαλακτώδεα.

84. [13] ..... μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξεν. [14] Πρωὶ ἐξανέστη καρηβαρικός· ἔφριξεν, ἀπήμεσε, κεφαλὴν ἐβαρύνετο· ἐς νύκτα ἀνῆκε μέχρι μέσου ἡμέρης ἐπιεικῶς· ἔφριξε πάλιν· νύκτα χαλεπῶς. Τὴν ἐπιοῦσαν δὲ ἡμέρην, πυρετὸς ὀξύς· κεφαλῆς σφάκελος· ἔμετος χολῆς πολλῆς, ἡ πλείστη [15] πρασοειδής· ἔληξε πάντα· ὕπνος ἐς νύκτα. Πρωὶ περιέψυκτο· ἱδρώτιον, νοτὶς [16] ἐπιπολὺ τοῦ σώματος· κατὰ σπλῆνα τῇ χειρὶ ἐδείκνυεν ὀλίγον χρόνον ξύστρεμμα ἀνώδυνον, [17] παραχρῆμα

[1] Ἐπιστρ. C (D, ὑπο al. manu) FH. – ὑποστρ. vulg. — [2] π. om. C. – ὀλιγόχρονον (sic) K. — [3] σμ. C. – μ. vulg. — [4] ζ H. – πρὸς βαλάνιον C. – κοπρ. καὶ χολ. C. — [5] καὶ om. C. – ὑποπαρέκρουε DHIJK. – ὑποπαρέκρουσε vulg. — [6] διακενῆς CDFHIJK. – ὡσεὶ C. – τις Codd., Ald. – κατέμμυεν DHIJ. – κατεκάμμυεν (sic) K. — [7] αὐτοῦ τὸ vulg. – αὐτοῦ om. C. – ἀπέβαλλεν CDK. – ἀπέβαλεν vulg. – ἐναταῖος (ἐνν. CFGI) vulg. – ἐνναταίῳ H. – ἑβδομαῖος Lind. — [8] μὲν ..... δεξιὸν om. K. – τὸ δέρμα (χρῶμα C) δὲ (δὲ om. C; τὸ δὲ δέρμα D) τὸ ὑπὸ vulg. – (ὡς C) ἐσμιγμένον (ἐμιγμένω, al. manu ἐσμιγμένω D; ἐσμιγμένω CFGHIJ; ἐστιγμένον Lind.) vulg. – Cornarius a traduit interpuncta cutis, lisant ἐστιγμένον, mot que Foes, dans ses notes dit lire *ex fidelioribus exemplaribus*. Ces *exemplaires meilleurs* ne se trouvent pas, comme on voit, parmi ceux que j'ai à ma disposition. — ἐφ' (ἐφ. om. K) ἑ. vulg. – Je pense qu'il faut lire ὑφ', les copistes confondant souvent ἐφ', ἀφ', ὑφ'. – ὀγδόῃ Codd. – ὀγδόην vulg. — [10] ἀν. Gal. in cit. comm. Ep. II, 3, text. 5. – ἐν. vulg. — [11] σ. C. – χρώματι pro φλ. G. – περιεχόμενον CH. – περιεχόμενα vulg. — [12] ἀπ. FGHIJK, Ald. – ἐπ. vulg. – μικρὰ D. – λεπτὰ pro λ. C. — [13] Il a paru à tous les traducteurs, et il

et qu'on pouvait toujours soulever; la chaleur fébrile cédait à la main (Ép. VI, 1, 14; Ép. VI, 8, 21), il venait un peu de moiteur, et la fièvre était insensible; battements violents des veines au front; pesanteur, pour un peu de temps, quand le malade se tournait et quand il satisfaisait ses besoins; généralement sans douleur; dès le début, nausées, et petits vomissements. Le septième, un suppositoire amena trois selles, bilieuses et fécales, très-liquides et jaunes; déjà le malade avait du subdelirium, et parfois un peu de moiteur autour du front; il se cachait le visage avec la couverture; il tournait les yeux dans le vide comme s'il regardait quelque chose, et puis les fermait; il rejetait sa couverture. Le neuvième, la sueur commença de bonne heure et s'étendit jusqu'à la poitrine, elle dura jusqu'à la mort; la fièvre crût ainsi que le délire; c'était autour du front qu'il y avait le plus de sueur, la couleur était très-mauvaise ou blanche, et la peau à la naissance des cheveux comme pointillée; hypochondre droit soulevé; le malade lâcha sous lui des matières bilieuses. Le huitième, il présentait comme des morsures de cousins. Avant sa mort, il expectora une espèce de champignon formé de mucosités et entouré d'une pituite blanche; dès auparavant il expectorait de petits crachats blancs, d'apparence laiteuse.

84. (*Fièvre rémittente. V. note* 13) .... Après le repas du soir il eut du frissonnement dans le sommeil. Le matin, en se levant, pesanteur de tête; il eut du frissonnement, il vomit, la tête était pesante; dans la nuit, relâche qui dura jusqu'au milieu du jour à peu près; frissonnement derechef, et nuit mauvaise. Le jour suivant, fièvre aiguë, douleur violente de tête, vomissement d'une bile abondante, presque toute porracée; tous les accidents cessèrent; sommeil dans la nuit. De bonne

me paraît aussi qu'ici commence une nouvelle observation. Le nom du malade manque, et sans doute quelque détail. — [14] πρωὶ ..... ἔρριξε om. FG. – κεφαλὴ J. – μέσης K. – ἐπιεικῶς om. C. — [15] πρασσ. C. — [16] ἐπὶ πολυ C. – ἐπιπουλὺ Lind. — [17] παρὰ χρῆμα CI. – ἐμαράνθη, μω supra lin. M.

ἐμαράνθη. Ἐς νύκτα ἄγρυπνος· περὶ ἀγορὴν παρωξύνετο πυρετός· ἄσῃ, [1] σκοτόδινος, στρόφος, κεφαλῆς ὀδύνη, ἔμετος προσοειδὴς, λεῖος, γλίσχρος ὡς φλέγμα· [2] πρὸς δυσμὰς ἔληξε πάντα· ἱδρὼς κεφαλῆς, τραχήλου· ὑπεχώρησε μετὰ τὸν ἔμετον κοπρώδεα, ὑγρὰ, χολώδεα, οὔτε μέλανα, οὔτε [3] ἐπεοικότα. Νύκτα μετρίως, καὶ τὴν ἐπιοῦσαν ἡμέρην· [4] ἐς νύκτα πάλιν ἄγρυπνος· ἔμετος ὀρθρου ὁμοίως, καὶ τὴν ἐπιοῦσαν ἡμέρην ἄνευ ἄσης· τῆς δὲ κεφαλῆς μετὰ τὸν ἱδρῶτα ἔληξαν αἱ [5] ὀδύναι· ἐς τὴν ἑσπέρην πάντα ἐχάλασεν. Ἐνάτῃ, οὐκ ἔτι ἥμεσεν· ἐθερμάνθη μᾶλλον· τοῖσιν ἄλλοισιν οὐκ ἐδόκει πυρεταίνειν· αἱ ἐν κροτάφοισι [6] φλέβες ἐπήδων· ἀνώδυνος πάντων· δίψος ἦν αἰεί. [7] Ἐναταῖος, ἐπὶ θῶκον ἀναστὰς, [8] ἐλειποψύχει σφόδρα· ὑπεχώρησε πρὸς βάλανον ξυσμάτια μέλανα καὶ χολώδεα· χρῶμα κοπρῶδες, ὅσον ἀπέσταξεν· ἡ φωνὴ κεκλασμένη· ἐν τῇσιν [9] ἐπιστροφῇσι βαρύς· ὀφθαλμοὶ κοῖλοι· δέρμα μετώπου περιτεταμένον· ἄλλως, εὔπνοος, κόσμιος· πρὸς τοῖχον [10] τὰ πλεῖστα ἀπεστραμμένος, ὑγρὸς ἐν τῇσι κλίσεσιν, ἐπικεκαμμένος, ἀτρεμίζων· γλῶσσα λευκὴ, λείη. Περὶ δὲ τὰς δέκα καὶ μετὰ, οὖρα ἐρυθρὰ τὰ [11] κυκλώδεα, ἐν μέσῳ σμικρὸν λευκόν. Δωδεκαταίῳ, πρὸς βάλανον ὅμοια ἀπέσταξε [12] χολώδεα καὶ ξυσματώδεα· μετὰ τοῦ βαλανίου, λειποψυχίη· ἔπειτα τὸ στόμα ἐπεξηραίνετο, διεκλύζετο αἰεί· [13] καὶ εἰ μὴ σφόδρα ψυχρὸν ἦν, θερμὸν ἔφασκεν εἶναι· τῆς χιόνος ἐπιεικῶς· εἶτα δίψα οὐκ ἐνῆν· τὸ ἱμάτιον αἰεὶ ἀπὸ τῶν στηθέων ἀπεώθει· τὴν [14] χλαμύδα χλιαίνειν οὐκ εἴα· τὸ πῦρ πόρρω καὶ [15] σμικρόν· γνάθων ἀμφοτέρων ἔρευθος· μετὰ ταῦτα ἄκροπις· ἀνεθερμάνθη μίην ἢ δύο ἡμέρας, καὶ ἔληξεν.

[1] Σκοτόδεινος CHI. — [2] πρὸ δυσμῶν C. – ἐκ κεφ. J. — [3] ἀπ. Lind. – C'est une correction indiquée par Cornarius et adoptée par Foes; mais je ne vois aucune raison de changer le texte. — [4] ἐς ..... ἡμέρην om. FG. — [5] ὀδύναι GIJ, Ald., Frob. – θ HIK. – ἐννάτῃ C, Lind. – οὐκέτι DFHIJ. — [6] φλ. om. Codd., restit. al. manu CD. – δῖψος IJ. — [7] ἐνν. CFGH, Lind. – θάκον HIK. – θάκων C. – θᾶσσον, supra lin. θῶκον D. — [8] ἐλιπ. HIK. – βαλάνου DFGHIK, Ald. – χολώδη CDFHJ. — [9] ἐπιστρ. C. – ὑποστρ. vulg. – τεταμένον HK. — [10] ταπλ. D. — [11] κυκλώδια Codd. – διὰ μέσου C. — [12] χολώδη καὶ ξυσματώδη DFHIJK. – χυλὼ καὶ ξύσματι C. – καὶ μετὰ sine τοῦ D. – βαλανίου CK. – βαλανίου (sic) I. – βαλανείου vulg. – ἐπεξηρένετο C. — [13] καὶ ... .. ἦν om., restit., in marg. C. – χιόνως FI. – τῇ χιόνι ἐπεικὸς Lind. – Ceci est une conjecture de Foes dans ses notes, mais qui est inutile. — [14] χλαμίδα F. – ἀμείδα CIK. – ἀμίδα H. — [15] σμικρὰ Codd. (D, ὂν al. manu). – ἀκροκπὶς L. – ἀνεθερμάνθη C. – ἀνεθερμαίνετο vulg. – μίην D. – μίαν vulg. – καὶ om. C.

heure il eut un refroidissement considérable; petite sueur, moiteur sur presque tout le corps; avec la main il indiqua pendant un peu de temps, du côté de la rate, un gonflement indolent qui se dissipa aussitôt. Dans la nuit, insomnie; vers l'heure du marché, exacerbation de la fièvre, nausée, vertige, tranchées, douleur de tête, vomissement porracé, homogène, visqueux comme de la pituite; vers le soir, tout se calma; sueur de la tête, du cou; après le vomissement il eut des selles fécales, liquides, bilieuses, ni noires ni de couleur favorable. Nuit passable ainsi que le jour suivant. Dans la nuit, derechef, insomnie; au matin, vomissements semblables, ainsi que le jour suivant, sans nausées; après la sueur cessèrent les douleurs de tête; sur le soir tout se relâcha. Le neuvième, il ne vomit plus; il eut plus de chaleur; aux autres il paraissait être sans fièvre; les veines des tempes battaient fortement; sans aucune douleur; soif perpétuelle. Le neuvième jour, s'étant mis sur le siége, il eut une lipothymie considérable; un suppositoire amena des matières comme des râclures noires et bilieuses, couleur fécale dans tout ce qui fut rendu; voix brisée; pesanteur quand il se tournait; yeux creux; peau du front tendue; du reste, bonne respiration; calme; il était presque toujours tourné du côté de la muraille; le corps souple dans le décubitus, infléchi (Pronostic, 3), et ne bougeant pas; langue blanche et lisse. Vers les dix jours et ensuite, urine rouge dans le pourtour, au milieu un peu blanche. Le douzième, un suppositoire amena des selles semblables de bile et de râclures; lipothymie avec cette selle; puis la bouche se sécha, il l'humectait sans cesse; si le liquide n'était pas très-froid, il le disait chaud; il s'accommodait de la neige; il n'y eut pas de soif ensuite; il repoussait continuellement la couverture de dessus sa poitrine; il ne permettait pas qu'on chauffât sa tunique, le feu était éloigné et petit; rougeur des deux joues; ensuite la langue articula mal; il eut des retours de chaleur pendant un jour ou deux; puis la maladie cessa.

85. Ἀνδροθαλεῖ ἀφωνίη, ἄγνοια, παραλήρησις· [1] παυθέντων δὲ τουτέων, περιῄει ἔτι συχνά· καὶ ὑποστροφαὶ ἐγίνοντο. Ἡ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρή· [2] εἰ μὴ διακλύσαιτο, διαλέγεσθαι οὐχ οἷός τε ἦν· καὶ σφόδρα πικρὴ ἦν τὰ πουλλά· ἔστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη. Φλεβοτομίη ἔλυσε ταῦτα· [3] ὑδροποσίη· μελίκρητον· ἐλλέβορον ἔπιε μέλανα, χολῶδες οὐ διῄει, ἀλλ' ὀλίγον. Τέλος δὲ, χειμῶνος [4] κατακλιθεὶς, ἐξ ἑωυτοῦ ἐγένετο· καὶ τὰ τῆς γλώσσης παθήματα ὅμοια· θέρμη λεπτή· γλῶσσα ἄχρως· φωνὴ [5] περιπλευμονική· ἀπὸ τοῦ στήθεος τὸ ἱμάτιον ἀπέῤῥιπτε, καὶ ἐξάγειν ἑωυτὸν ὡς οὐρήσοντα ἐκέλευεν, οὐδὲν δυνάμενος σάφα εἰπεῖν, οὐδὲ [6] ἐὼν παρ' ἑωυτὸν, ἐξῆγον αὐτόν· ἐς νύκτα ἐτελεύτησεν· ἧσι κατεκλίνη, δύο ἢ τρεῖς ἡμέραι ἐγένοντο.

86. [7] Τὸ Νικάνορος πάθος, ὁπότε ἐς ποτὸν ὥρμητο, φόβος τῆς αὐλητρίδος· ὅτε ἀρχομένης αὐλεῖν ἀκούσειεν ἐν τῷ [8] ξυμποσίῳ, ὑπὸ δειμάτων ὄχλοι, μόγις ὑπομένειν ἔφη, ὅτε νὺξ εἴη, ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο, καὶ ταῦτα παρείπετο [9] χρόνον συχνόν.

87. [10] Δημοκλέης δὲ ὁ μετ' ἐκείνου ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκει, καὶ οὐκ ἂν [11] παρὰ κρημνὸν ἔφη παρελθεῖν οὐδὲ ἐπὶ γεφύρης, οὐδὲ τοὔλαχιστον βάθος τάφρου τολμῆσαι ἂν, ὑπὸ δείματος μὴ πέσῃ, διελθεῖν, ἀλλὰ δι' αὐτῆς τῆς τάφρου πορεύεσθαι· τοῦτο χρόνον τινὰ αὐτῷ [12] ξυμβῆναι.

88. [13] Τὸ Φοίνικος, ἐκ τοῦ ὀφθαλμοῦ τὰ πουλλὰ [14] ἐκ τοῦ δεξιοῦ ὥσπερ ἀστραπὴν ἐκλάμπειν ἐδόκει· οὐ πολὺ δὲ ἐπισχόντι, ὀδύνη ἐς κρόταφον [15] τὸν δεξιὸν ἐγένετο δεινὴ, ἔπειτα καὶ ἐς ὅλην τὴν κεφα-

[1] Αὐθέντων, in marg. al manu, παυ. C. – Faute du copiste, pour λυθέντων, α pour λ, ce qui n'est pas rare. – ἔτεα (ἔ. om. rescriptum al. manu in marg. C) συχνὰ vulg. — [2] καὶ εἰ Lind. – πολλὰ C. – ἔλυσε Codd. – ἔρυσε vulg. — [3] ἰόρ. C. – χολώδη D. – τέλος Codd., Lind. – τέλει vulg. — [4] κατακλισθεὶς C. – γλώττης D. – ἄχρώος (sic) C. — [5] περιπν. CHK. – οὐρήσοντα Codd., Ald. – οὐρήσαντα vulg. — [6] ἐῶν (sic) C. – κατεκλίνει (sic) CDFHIJ. – κατέκλινε vulg. – κατεκλίθη K. – τρὶς D. – γ FI. – ἡμέραι ἐγένοντο. Τὸ CH. – ἡμέρας. Ἐγένετο τὸ vulg. — [7] τῶ DFGIJ. – ἀρχόμενος C. — [8] ξ. Codd. – σ. vulg. – δημάτων C. — [9] συχν. χρ. C. — [10] δημοκλεὴς CHIJK, Lind. – δημοκλέης D. – Τιμοκλέης vulg. – τημοκλεὴς G, Ald. – δὲ om. K. — [11] παρὰ om. C. – οὐδ' C. – γεφύρης C. – γεφύρας vulg. – μέση pro μὴ πέσῃ C. — [12] σ. C. – ξυνέβη Lind. — [13] τῶ D. – πουλλὰ HIJK. – πολλὰ vulg. — [14] ἐκ C. – ἐκ om. vulg. – δ' C. — [15] τὸν δ. om. C.

85. (*Affection indéterminée.* Ép. v, 80.) Chez Androthalès, perte de la voix et de la connaissance, délire ; cela ayant cessé, il continua encore longtemps à aller et venir ; il survenait des récidives. La langue demeurait sèche pendant tout le temps ; s'il ne se la nettoyait pas, il n'était pas en état d'articuler ; elle était presque toujours très-amère ; parfois il survenait aussi une douleur cardialgique. La saignée fit disparaître ces accidents ; l'eau en boisson, l'hydromel ; il prit une potion d'hellébore noir, ne rendit point de bile et ne fut que peu évacué. Finalement, alité pendant l'hiver, il n'avait plus sa connaissance ; les accidents du côté de la langue étaient les mêmes ; chaleur légère ; langue décolorée ; voix péripneumonique ; il rejetait la couverture de dessus sa poitrine et commandait qu'on le menât dehors comme ayant besoin d'uriner ; il ne pouvait rien dire distinctement, et n'avait pas sa raison ; on l'emmena dehors ; il mourut dans la nuit. Il fut alité pendant deux ou trois jours.

86. (*Affection mentale, terreurs sans motifs.* Ép. v, 81.) L'affection de Nicanor : quand il se lançait à boire, la joueuse de flûte l'effrayait ; lorsqu'il entendait dans un festin les premiers sons de la flûte, des terreurs l'obsédaient ; il disait pouvoir à peine se contenir, quand il était nuit ; mais, de jour, s'il entendait cet instrument, il n'éprouvait aucune émotion ; cela dura longtemps.

87. (*Affection mentale, terreurs sans motifs.* Ép. v, 82.) Démocleès, qui était avec lui, paraissait avoir la vue obscurcie et le corps tout relâché ; il n'aurait, disait-il, osé ni passer près d'un précipice ou sur un pont, ni traverser le fossé le moins profond, de peur d'y tomber, mais il pouvait cheminer dans le fossé même ; cela lui dura pendant un certain temps.

88. (*Névralgie particulière.* Ép. v, 83.) Pour Phœnix, il lui semblait voir briller comme un éclair, de l'œil droit d'ordinaire ; au bout de peu de temps il survenait une douleur violente dans la tempe droite, puis dans toute la tête et dans le

λὴν, καὶ ἐς [1] τὸν τράχηλον, ᾗ δέδεται ἡ κεφαλὴ, ὄπισθεν τῶν σπονδύλων· καὶ ξύντασις καὶ σκληρότης ἀμφὶ τοὺς τένοντας· [2] εἰ γοῦν ἐπειρᾶτο διακινέειν τὴν κεφαλὴν [3] ἢ διοίγειν τοὺς ὀδόντας, ὠδυνᾶτο, ὡς σφόδρα ξυντεινόμενος. Ἔμετοι, ὁπότε γενοίατο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας, [4] ἢ ἠπιωτέρας ἐποίεον· καὶ φλεβοτομίη ὠφέλησε, καὶ ἐλλέβοροι ἦγον παντοδαπὰ, οὐχ ἥκιστα πρασοειδέα.

89. [5] Τῷ Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι καὶ ἵμερος τῆς ἀπαλλαγῆς βίου, ὁτὲ δὲ πάλιν εὐθυμίη. Ἐν Ὀλύνθῳ δέ ποτε φθινοπώρου ἄφωνος κατείχετο, ἡσυχίην ἔχων, βραχύ τι ὅσον ἄρχεσθαι ἐπιχειρέων προσειπεῖν· [6] εἰ δὲ δή τι καὶ διαλεχθείη, καὶ πάλιν ἄφωνος. Ὕπνοι ἐνῆσαν, [7] ὁτὲ δὲ ἀγρυπνίη, καὶ ῥιπτασμὸς μετὰ σιγῆς, καὶ [8] ἀλυσμὸς, καὶ χεὶρ πρὸς ὑποχόνδρια ὡς ἐδυνωμένῳ· [9] ὁτὲ δὲ ἀποστραφεὶς, ἔκειτο ἡσυχίην ἄγων. Ἀπύρετος δὲ διατελέως, καὶ εὔπνοος· ἔφη [10] δὲ ὕστερον ἐπιγινώσκειν τοὺς ἐσιόντας· πιεῖν [11] δὲ ὁτὲ μὲν ἡμέρης ὅλης καὶ νυκτὸς, [12] καὶ διδόντων, οὐκ ἤθελεν, ὁτὲ δὲ [13] ἐξαίφνης τὸν στάμνον ἁρπάσας τοῦ ὕδατος παντὸς ἐξέπιεν· οὖρον παχὺ ὡς ὑποζυγίου. Περὶ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἀνῆκεν.

90. Ἡ δὲ [14] Κόνωνος θεράπαινα, ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένης, ἐκτὸς ἑωυτῆς, καὶ βοὴ, καὶ κλαυθμὸς πουλὺς, ὀλιγάκις δὲ ἡσυχίη. Περὶ [15] δὲ τὰς τεσσαράκοντα ἐτελεύτησεν· τὰς δὲ ἐπὶ τελευτῆς ὡς ἓξ ἡμέρας ἄφωνος καὶ σπασμώδης ἐγένετο.

[1] Τὸν om. C. – οἴδετο (εἴδεται C; ᾤδεται HIK) sine ᾗ vulg. — [2] ἢ C. — [3] ἢ om. (D, restit. al. manu) FGJ. – διάγειν, οἱ supra lin. H. – διήγειν CFGIJ. – ὠδυνᾶτο Lind. – ἠδύνατο vulg. – La correction de Lind. est heureuse. – ξυντεινομένους K. – ὁπότε CH. – ὁπότ' ἂν vulg. – ὁπόταν DK. — [4] ἢ Lind. – ἢ om. vulg. – ἢ a été omis par les copistes à cause de l'ἢ qui commence le mot suivant. – ἠπιωτέρας CH, Lind. – ἠπιωτέρας I. – ἠπιωτέρους (ἠπ. DKJ) vulg. – ἐποίεον C. – ἐποίουν vulg. – ἐλέβοροι C. — [5] τῷ om. DHIJK. – Ἁρμενίσκῳ Ald. – ἵμερος C. – τῆς om. C. – καὶ ἀπαλλαγὴ pro τῆς ἀ. DFGHIJK, Ald. – κατέκειτο vulg. – Il faut lire, ce me semble, κατείχετο. — [6] ἤδη δέ τι καὶ διελέχθη (διηλέχθη D) vulg. – Cornarius, suivi par Foes, a traduit comme s'il y avait εἰ ; cette correction m'a paru très-bonne. Les fautes de ce genre de la part des copistes sont fort communes ; de même pour διελέχθη, en place de διαλεχθείη. — [7] ὅτε C. — [8] ἀλ. D, Ald., Frob. – ἀλυγμὸς C. – ὀδυνωμένω Codd., Lind. – ὀδυναμένῳ vulg. — [9] ὅτε C. – ὁ πυρετὸς vulg. – Il faut lire ἀπύρετος; il s'agit évidemment ici d'une maladie mentale apyrétique. – διατέλεος DFHIJK. – διὰ τέλεος vulg. — [10] δ' C. — [11] δὲ om. C. – ὅτε (*bis*) C.

cou à l'endroit où la tête est attachée, dans la région postérieure des vertèbres; tension et dureté des tendons; aussi s'il s'efforçait de mouvoir la tête ou d'ouvrir la bouche, il souffrait comme éprouvant une forte contraction. Des vomissements, quand il s'en opérait, détournaient les douleurs susdites ou les rendaient plus modérées; il fut soulagé aussi par la saignée; les hellébores procuraient la sortie de matières de toute espèce, et surtout de matières porracées.

89. (*Affection mentale.* Ép. v, 84.) Parméniscus était pris, même antécédemment, de découragements et d'un désir de quitter la vie; puis, derechef, bon courage. Se trouvant à Olynthe en automne, il était saisi d'aphonie, gardant l'immobilité, et s'efforçant d'articuler quelques mots qu'il commençait à peine; et s'il parvenait à articuler quelques paroles, derechef il perdait la voix. Tantôt il y avait du sommeil; tantôt de l'insomnie, une agitation silencieuse, de la jactitation, avec la main appuyée sur les hypochondres comme s'il y souffrait; tantôt, tourné vers la muraille, il gisait, se tenant en repos. Jamais de fièvre; bonne respiration; finalement, il dit reconnaître les personnes qui entraient; quant à la soif, tantôt il ne buvait pas pendant une journée entière et une nuit, même quand on lui offrait à boire; tantôt, saisissant soudainement le vase, il avalait toute l'eau. Urine épaisse, jumenteuse. Vers le quatorzième jour, la maladie cessa.

90. (*Affection encéphalique.* Ép. v, 85.) La servante de Conon, la douleur ayant commencé par la tête, n'eut plus sa connaissance; cris, plaintes nombreuses, rarement du repos; elle mourut vers le quarantième jour; les six jours environ qui précédèrent la mort, elle perdit la voix et eut des spasmes.

— [12] καὶ om. C. — [13] τὸν στ. ἐξαίφν. C. – τὴν pro τὸν K. – παντὸς om. C. ἱπποζυγίου HIJ. – δὲ om. C. – τεσσαρεσκαιδεκάτην DJ, Lind. – τῷ vulg. – τεσσαρεσκαίδεκα sine τὴν C. — [14] κόνονος IK. – ἐκ κεφαλῆς Codd., Lind. – ἐν κεφαλῇ vulg. – ἀρξαμένης DK, Lind. – ἀρξαμένη vulg. – καὶ βοὴ om. (D, restit. al. manu) FGHJK. – πουλὺς Codd. – πολὺς vulg. — [15] ἔτεα vulg. – δὲ τα; pro ἔτεα Lind. – ὡς ἐξ C. – ὡς ἐξ om. vulg. – ἐγίνετο CHI.

91. Καὶ ὁ τοῦ Τιμόχαρίος θεράπων, ἐκ μελαγχολικῶν [1] δοκεύντων εἶναι καὶ τοιούτων, ἐτελεύτησεν ὁμοίως, καὶ περὶ ἡμέρας τὰς αὐτάς.

92. Τῷ Νικολάου, περὶ ἡλίου τροπὰς χειμερινὰς, ἐκ πότων ἔφριξεν· ἐς νύκτα πυρετός. Τῇ [2] ὑστεραίῃ, ἔμετος χολώδης, ἄκρητος, ὀλίγος. Τρίτῃ δὲ, ἀγορῆς πληθούσης, ἱδρὼς [3] δι' ὅλου τοῦ σώματος· ἔληξε, καὶ ταχὺ πάλιν ἐθερμάνθη· περὶ μέσας νύκτας, ῥῖγος, πυρετὸς ὀξύς. Ἡμέρης δὲ τὴν αὐτὴν ὥρην ἱδρώς· ταχὺ πάλιν ἐπεθερμάνθη· ἔμετος [4] ὅμοιος. Τῇ τετάρτῃ, ἀπὸ ὕδατος λινοζώστιος ὑπεχώρησεν εὖ κοπρώδεα καὶ ὑγρὰ, [5] ὑπομύσαρα δέ· οὖρα σποδοειδέα, οἷα ὕδωρ λινοζώστιος, οὐκ ἀνόμοια, ὑπόστασις οὐκ ἦν, οὐδὲ [6] πουλὺ τὸ οὖρον· ἐναιωρήματα σμικρά· ἀλγήματα ὑποχονδρίου ἀριστεροῦ καὶ ὀσφύος, ἤρετο ἐκ τοῦ [7] ἐμέτου· ἐπανέπνει ἔστι δ' ὅτε διπλόον· γλῶσσα λευκὴ, ἔχουσα ἐκ δεξιοῦ οἷον θέρμου πρόσφυσιν [8] ὑποβρυχίην· διψώδης, ἀγρυπνος, [9] ἔμφρων. Ἑκταίῳ δὲ δεξιὸς ὀφθαλμὸς μέζων ἐν τῷ βλέπειν. Ἑβδομαῖος ἐτελεύτησεν· [10] κοιλίη πρὸ τῆς τελευτῆς ἐμετεωρίσθη, καὶ ἀποθανόντι τὰ ὄπισθεν ἐφοινίχθη.

93. Μέτωνι, μετὰ [11] πληϊάδων δύσιν, πυρετὸς, πλευροῦ ἀριστεροῦ ὀδύνη μέχρι κληῖδος, οὕτω δὲ δεινὴ, ὥστε ἀτρεμίζειν οὐχ οἷός [12] τ' ἦν,

